312

Δ5

ΔΗΜΙΑ ΑΘΗ

ΑΘΗ
ΔΗΜΙΑ

ΑΘΗ
ΔΗΜΙΑ

ΑΘΗ
ΔΗΜΙΑ

Quidam arbitrantur nos futuros
Iudices.

[illegible]
e·rā· relata·s[illegible]

[illegible]
nūī· intellige istū ·ꝫ· s· tenoꝛ· illius· c· testi[illegible] ·v·l·ut·s·h
[illegible]

Apo

ex Bibliot. Episcop. ...

# ΑΠΟΣΤΟΛΙΟΥ
## ΤΟΥ ΒΙΖΑΝΤΙΟΥ ΠΑ ΡΟΙΜΙΑΙ

## APOSTOLII BISANTII PAROEMIAE

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
1258
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ

BASILEAE EX OFFICINA HERVAGIANA.

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΕΚ ΤΩΝ ΤΟΥ
ΞΕΝΟΦΩΝΤΟΣ Α. ΣΙΔΕΡΙΔΟΥ

# ΑΠΟΣΤΟΛΙΟΥ ΤΟΥ ΒΙΖΑΝΤΙΟΥ ΣΥΝΑΓΩΓΗ ΠΑΡΟΙΜΙΩΝ ΚΑΙ

συνθήκη. οὐκ ἄνευ γε τοῦ καὶ ὅθεν αἱ πλείους ἐσχήκασι τὰς ἀρχὰς τῷ αἰδεσίμῳ ἐπισκόπῳ τοῦ ὅσμου κυρίῳ γάσπαρι.

Ἃ μὲν ὑπέστην ἐν ῥώμῃ σοι, τὴν τῶν παροιμιῶν συναγωγὴν καὶ συνθήκην, οὐκ ἄνευ γε τοῦ, καὶ ὅθεν αἱ πλείους ἐσχήκασι τὰς ἀρχάς, ταῦτά μοι ἐν κρήτῃ διανυσθέντα, ἰδού σοι πέμπεται ἀνδρὶ αἰδεσίμῳ καὶ σοφῷ. εἰ δὲ βραδύτερον ἢ ἐβούλου, οὐχ ἡμῶν γε τοῦτο, ἀλλὰ τῆς τύχης δήπου καὶ τοῦ καιροῦ. οὕτω γε δὴ καὶ ἡμῶν ἀκόντων, ἅπαν περαίνεται ἢ δοκεῖ. ἄλλως τε, κρεῖττον ἂν εἴη, βραδύναντα τὸ βουλόμενον κατορθῶσαι, ἔξιον ξένου λόγου, ἢ ταχύναντα οὐδενός, τὸ μὲν γὰρ ἔντιμον, τὸ δὲ οὐκ ἄτιμον. ἔχεις τοίνυν λαβὼν τὸ ὑπεσχημένον σοι. κα-

μοι πέρας εἴληφε λαβὼν τὸ ἐπίταγμα. εἰ μὲν κατ' ἀρέσκειαν τῇ βούλησιν ὑμετέραν, θεῷ καὶ σοὶ χάρις. εἰ δ' οὔ, κοινωνεῖν σε δίκαιόν μοι τοῦ πάθους. κοινὰ γὰρ εἶναι τοῖς σοφοῖς τὰ τῶν φίλων πεπαροιμίασθαι. πεπαροιμίασαι

Ἀβυδηνὸν ἐπιφόρημα.

ἐπὶ τῶν ἀηδῶν εἴωθε τάττεσθαι. ἔθος γὰρ ἦν τοῖς Ἀβυδηνοῖς, μετὰ τὸ δεῖπνον καὶ τὰς σπονδὰς, προσάγειν τοὺς παῖδας τῶν πτωχῶν τοῖς εὐωχουμένοις. κεκραγότων δὲ τῶν παίδων, καὶ θορύβου γινομένου, ἀηδίαν πολλὴν εἶναι τοῖς δαιτυμόσιν.

Ἄβυδος ἐστίν.

ἐπὶ συκοφάντου τάττεται. διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοῖς δαιτυμόσιν.

Ἄβυδος ἐστίν.

ἐπὶ συκοφάντου τάττεσθαι. διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοῖς Ἀβυδηνοῖς.

Ἀβασάνιστος ἄνθρωπος εἶ.

ἀγύμναστος ἢ ἀνεξέταστος. ἀδοκίμαστος. εἴρηται δὲ ἀπὸ τῆς βασάνου τῆς χρυσοχοικῆς λίθου ἐν ᾗ δοκιμάζουσι τὸν χρυσόν.

Ἀβρώνος βίος,

ὁ πολύς.

ὁ πολυτελής. ἄβρων γάρ τις γέγονε πλούσιος. ὅθεν καὶ ἀβροδίαιτος.

Ἀγαθῶν θάλασσα.

ἐπὶ πολλῶν ἀγαθῶν καὶ μεγάλων τάττεται. λέγεται δὲ καὶ ἀγαθῶν πόντος. καὶ ἀγαθῶν σωρός.

Ἀγαθῶν μυρμηκιά.

ἐπὶ πλῆθος εὐδαιμονίας.

Ἀγαθώνειος αὔλησις,

ἡ μήτε χαλαρὰ μήτε πικρά. ἀλλ' εὔκρατος καὶ ἡδίστη. μαλακὴ καὶ ἐκλελυμένη. ἀπὸ ἀγαθῶνος αὐλητοῦ. οὗτος ἀγαθὸς ἦν τὸν τρόπον. καὶ ποθεινὸς τοῖς φίλοις. ἐκωμῳδεῖτο δὲ εἰς θηλύτητα.

Ἀγαθὴ μᾶζα μετ' ἄρτον.

ἐπὶ τῶν τὰ δεύτερα τισὶ διδόντων.

Ἀγαθὸς ψάλτης, ἀγαθὸς ζωμοποιός.

ὡς οὐδὲν διάφορον ἡ δι' ὀργάνων φωνὴ ἡδονὴν ἐμποιεῖ, τῆς δι' ὄψων καὶ ζωμοῦ συνουσίας. ἀρχίδαμος γὰρ ὁ ζευξίππου πρὸς τὸν συνιστάντα ψάλτην, καὶ εἰπόντα, οὗτος ἀγαθὸς ψάλτης ἐστὶ, εἶπε. παρ' ἡμῖν δέ γε οὗτος, ἀγαθὸς ζωμοποιός. πρὸς δὲ τὸν ἐπαινοῦν

τα τὴν δύναμιν αὐτοῦ, ὦ λῷστε ἔφη, κιθαρῳδὸν, καὶ θαυμάζοντα τὴν δύναμιν αὐτοῦ, ὦ λῷστε ἔφη. ποῖον γέρας παρὰ σοῦ τοῖς ἀγαθοῖς ἀνδράσιν ἔσται, ὅταν οὕτως ἐπαινῇς.

Ἀγαθοῦ δαίμονος.

ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸ δεῖπνον πίνειν ἀγαθοῦ δαίμονος, ἐπιφέροντες ἄκρατον. καὶ τοῦτο δὲ τρίτον. καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς, οὕτως ἐκάλουν. καὶ ἐν Θήβαις ἦν ἡρῷον ἀγαθοῦ δαίμονος.

Ἀγαθὰ Κιλίκων.

ἐπὶ τῶν ἀπὸ τῶν οὐ προσηκόντων πλουτούντων. προδότης γάρ τις τῶν Κιλίκων Μιλήτου προδοὺς ηὐπόρησεν.

Ἀγέλαστος πέτρα.

ἐπὶ τῶν λύπης προξένων. ὑπ' αὐτῆς γὰρ ἐκάθισεν, ὅτε ἐζήτει τὴν κόρην ἡ Δημήτηρ.

Ἀγνότερος πηδαλίου.

ἐπὶ τῶν ἁγνῶς βιούντων. παρ' ὅσον ἐν θαλάσσῃ ἐστὶν ἀεὶ τὸ πηδάλιον.

Ἀγαθῶν ἀγαθίδες.

ἐπὶ πολλῶν ἀγαθῶν λέγεται.

Ἀγορὰ Κερκώπων.

ἐπὶ τῶν

ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. κέρκωπας γάρ τινας ἀπατεῶνας ἐγένοντο ἐν ἐφέσῳ. οἳ καὶ τὸν δία ἐξαπατῆσαι πεπείρανται.

Ἀγοῦσιν ἑορτὴν οἱ κλέπται.

χαριεστάτη ἡ σύνταξις, καὶ ἱκανῶς πεπαιδευμένη, ἐπὶ κωμῳδικὴν χάριν. λέγεται ἐπὶ τῶν ἀδεῶς κλεπτόντων.

Ἀγαπητὸς τακτὸς βάτος αὐτός.

ἐπὶ τοῦ σκληροῦ λανθάνοντος τὸν τρόπον.

Ἀγρίππου ἀκαρπότερος.

ἔστι δὲ ἄγριππος, ἡ ἀγριελαία.

Ἀγροῖκον μὴ καταφρόνει ῥήτορος.

ὑποθετική. μὴ δὲ τῶν εὐτελῶς χρὴ καταφρονεῖν.

Ἀγὼν οὐ δέχεται σκήψεις.

ἐπὶ τῶν μηδὲν ὀνιναμένων, εἰ σκήψαιντο.

Ἀγαμέμνονος θυσία.

ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν. θύοντος γὰρ ἀγαμέμνονος, ὁ βοῦς φυγὼν, μόλις ἐλήφθη.

Ἀγαμεμνόνεια φρέατα.

ἐπὶ τῶν ἐνδόξων ἔργων. ἀγαμέμνων γὰρ παρὰ τὴν αὐλίδα καὶ τὴν ὅλην ἑλλάδα, φρέατα ὤρυξεν.

ἐπὶ τῶν ῥᾷστα καὶ παρ' ἐλπίδα τὰ πράγματα κατορθούντων. χρησμὸς γὰρ ἐδόθη Λακεδαιμονίοις, ἀδάκρυν μάχην νικῆσαι.

Ἀδεὲς δέος δέδοικας.

ἐπὶ τῶν τὰ μὴ φοβερὰ φοβουμένων.

Ἀδράστεια νέμεσις.

ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὕστερον δὲ δυστυχησάντων. τῶν γὰρ ἐπιγόνων Θηβαίοις ἐπιστρατευσάντων, μόνος Αἰγιαλεὺς ἀπώλετο Ἀδράστου παῖς.

Ἄδεις ἔχων.

μάτην λέγων, ληρεῖς.

Ἄδεις πρὸς μυρρίνην.

ἔθος ἦν τὸν μὴ δυνάμενον ἐν συμποσίῳ ᾆσαι, δάφνης κλάδον ἢ μυρρίνης λαβόντα, πρὸς αὐτὸν ᾄδειν.

Ἀδώνιδος κῆπος.

ἐπὶ τῶν ὀλιγοχρονίων. καὶ ἀώρων. καὶ μὴ ἐρριζωμένων.

Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων.

ἐπὶ τῶν φιληδόνων καὶ ἀφροντίστων.

Ἀδηφάγον ἅρμα.

ἐπὶ τῶν

ἐπὶ τῶν γαστρὶ μαργαινόντων. καὶ ἀδδήφαγος τριήρης ἡ πολυτελής. καὶ ἀδδήφαγος λύχνος.

Ἀεὶ κολοιὸς παρὰ κολοιὸν ἱζάνει.

ἐπὶ τῶν ὁμοίων προσομιλούντων.

Ἀεὶ γεωργὸς,

ἐν νέωτα πλούσιος. ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλαγῆναι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.

Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ διὸς κύβοι.

ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων. οἱ δὲ, ἐπὶ τῶν ἀξίως τιμωρουμένων. μεταγεγραμμένου τοῦ εὖ πίπτουσιν, εἰς τὸ ἐμπίπτουσιν.

Ἀετὸν ἵπτασθαι διδάσκεις.

ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινὰς, ἃ ἐπίσαντες μᾶλλον τῶν θελόντων διδάσκειν.

Ἀετὸς ἐν νεφέλαις.

ἐπὶ τῶν δυσαλώτων.

Ἀετοῦ γῆρας,

κορύδου νεότης. παρ᾽ ὅσον καὶ γηράσκων ἀετὸς, κρείττων ἐστὶ νεάζοντος ὄρνιθος.

λέγεται τὸν βίον ἀετὸς καταστρέφειν, διὰ καμπῆς τοῦ ἄνω χείλους πρὸς τὸ κάτω χρόνῳ συγκαμψάσης.

Ἀετὸς θρίπας ὁρᾷ.

ἐπὶ τῶν καταφρονούντων τῶν μικρῶν.

Ἀεὶ φέρει τι λιβύη καινόν.

ἐπὶ τῶν ἀεὶ ἐξευρισκόντων τι νέον καινόν.

ἀετὸν κάνθαρος μαιεύεται.

ἐπὶ τῶν κακῶς ὑπό τινων παθόντων. τὰ γὰρ ὠὰ τοῦ ἀετοῦ ἀφανίζει κυλίων ὁ κάνθαρος.

Ἄδηλος πλοῦτος,

ὅτι τυφλός. ἐπὶ τῶν κεκτημένων τι καλόν, ἄδηλον.

Ἀζανῖα κακά.

ἐπὶ τῶν κακοῖς διηνεκῶς προσπαλαιόντων. ἀζάνη γὰρ τόπος σκληρός, καὶ τοῖς γεωργοῖς ἀπρόσπορος.

Ἀθηνᾶ τὸν αἴλουρον.

ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι, διὰ μικρὰν ὁμοιότητα, ἡ παροιμία εἴρηται. ὡς εἴ τις διὰ

γλαυκότη-

γλαυκότητα τὸν αἴλουρον τῇ ἀθηνᾷ συμβάλλοι.

Ἀθύρωτον στόμα

ἐπὶ τῶν πολυλόγων.

Ἄθως καλύπτει πλευρὰ λημνίας βοός.

ἐπεὶ ἐν λήμνῳ βοίδιον λευκοῦ πεποιημένον λίθου, ὁ ἄθως τὸ ὄρος ἐπισκιάζει. λέγεται δὲ ἐπὶ τῶν λυπούντων τινὰς, ἢ βλαπτόντων.

Αἰγὸς τρόπος.

ἐπὶ τῶν ἑαυτοῖς ἐπιφερόντων κακὰ, ἀπὸ κορινθιακῆς παροιμίας, ἡ αἲξ δὲ τὴν μάχαιραν. οὕτω γὰρ λέγεται. κορινθίων ἥρᾳ ἀκραίᾳ θυόντων, ἣν λέγεται ἱδρύσαι μήδειαν, οἱ ἐν τῇ παρόχῳ μεμισθωμένοι γῇ κρύψαντες τὴν μάχαιραν, ἐσκήπτοντο ἐπιλελῆσθαι. ἡ δὲ αἲξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευεν.

Αἱ οἱ δίποδες ἀραί.

ἐπὶ τῶν μεγάλως δυστυχούντων.

Αἵματι κλαίειν.

ἀφ' ὧν μὴ δύναιντο πεῖσαι παντὰ πράττοντες. οὕτως ἔλεγον οἱ παλαιοί.

οὐδ᾽ ἂν πείσῃ αὐτὸν, οὐδ᾽ αἵματι κλαίων.
λέγουσι δὲ, καὶ οὐδ᾽ ἂν αἵματι στάζων, πείσειεν.

Αἴρειν ἔξω πόδα πηλοῦ.

ἐπὶ τῶν βουλομένων μὴ ἐν πράγμασιν εἶναι.
λέγεται δὲ καὶ αἴρειν ἔξω πόδα αἰτίας.

Αἰθίοψ οὐ λευκαίνεται.

ἐπὶ τῶν ἀμεταβλήτων.

Αἱροῦντες ᾐρήμεθα.

ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν, εἶθ᾽ ὑπ᾽ ἐκείνων ἁλόντων.

Αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι.

Αἰσώπειον αἷμα.

ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων. οὐ γὰρ ἐνδίκως ἐκτείναντο Αἴσωπον οἱ Δελφοί.

Αἴρειν μασχάλην.

ἐπὶ τῶν ὀρχουμένων ἀγροίκως.

Αἰτναῖος κάνθαρος.

ἐπὶ τῶν μεγάλων.

Ἄϊδος κυνῆ.

ἐπὶ τῶν κρυπτόντων ἑαυτοῖς διά τινων μηχανημάτων.

Αἴθεις ἐν πέπλῳ.

ἐπὶ τῶν στάσεις ἐγειρόντων. ἡ γὰρ Δηιάνειρα,

πέπλον

πέπλον ἔπεμψεν ἡρακλεῖ, ὑφ' οὗ ἐκαύθη.

Αἱ χάριτες γυμναί. ὅτι δεῖ τὰς δωρεὰς ἀφειδῶς, ἢ ἀκενοδόξως χαρίζεσθαι.

Αἰγιαλῷ λαλεῖς.

ἐπὶ τῶν ἀνηκόων.

Αἱ ἰβύκου γέρανοι.

ἐπὶ τῶν ἀπροσδοκήτως κολαζομένων ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν. ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος, γεράνους ἰδὼν, ἐμαρτύρατο. εἶτα οἱ λῃσταὶ ἐν θεάτρῳ γεράνους θεώμενοι, αἱ ἰβύκου γέρανοι ἔλεγον. καὶ ἀνακριθέντες ἐκολάσθησαν.

Αἴαντος γέλως.

ἐπὶ τῶν παραφρόνως γελώντων.

Αἲξ οὔπω τέτοκεν.

ἔριφος δ' ἐπὶ δώματος παίζει. ἐπὶ τῶν τὰ οὔπω τεχθέντα ἢ γεγονότα προλεγόντων.

Ἀεὶ γέροντι νέαν προσβάλλει κόρην.

ἐπὶ τῶν πρεσβυτέρων, βουλομένων δὲ νέαις συνδυάζεσθαι

Ἄκαιρος εὔνοια, οὐδὲν ἔχθρας διαφέρει.

ἱππόλυτος εἶπε τοῦτο πρὸς τὴν φαίδραν, λέγουσαν αὐτὸν φιλεῖν ὑπὲρ ὅλους.

Ἄκλητοι κωμάζουσιν εἰς φίλους φίλοι.

ὅμοιον αὐτῷ ἐστι, τὸ, ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτα ἴασιν. ἐπὶ τῶν αὐτομάτως προσδυομένων που.

Ἄκουε τοῦ τέτταρα ὦτα ἔχοντος.

αὐλητὴς ἦν. πρὸς ὃν εἶπεν ἡ πυθία τισὶν, ὡς παραφυλάττοιντο. οἱ δὲ, ἀμελήσαντες ἀπώλοντο. ἔνιοι μὲν, ἐπὶ τοῦ πολλὰ εἰδότος ἢ ἀκούοντος. οἱ δὲ, ἐπὶ τῶν ἀληθευόντων. ὡς ἐπὶ τοῦ ἀπόλλωνος, ὃν τετράχειρας τετράωτον καλοῦσιν.

Ἀκεὶς δισκίνητος χλωρά.

ταύτης ταῖς κινήσεσιν οἱ ἀγροῖκοι πρὸς τρέχουσι. καὶ μαντείας ἐξ αὐτῶν ποιοῦνται. τίθεται οὖν ἐπὶ τῶν φαύλως μαντευομένων.

Ἄκρον λάβε καὶ μέσον ἕξεις.

ἤ τὴν ἄιγιναν οἰκοῦντες, ἐκπεσόντες αὐτῆς διὰ πόλεμον, ἐχρήσαντο τῷ θεῷ. ὁ δὲ, τὸν χρησμὸν τοῦτον εἶπε, καὶ συμβαλόντες, ἀκρωτηριόντι κατασχόντες, κατὰ μέσον ᾤκησαν. λέγεται δὲ ἐπὶ τῶν δυσνοήτων.

Ἀκούσατε

Ἀκούσατε νέοι γέροντος,
οὗ νέου γέροντες ἤκουον.

Ἀκεσαῖος καὶ ἑλικῶν ἔργα.
ἐπὶ τῶν θαύματος ἀξίων. οὗτοι γὰρ πρῶτοι τὸν τῆς ἀθηνᾶς πέπλον ἐδημιούργησαν.

Ἀκαδημίηθεν ἥκεις.
ἤτοι σοφὸς καὶ σπουδαῖος ὑπάρχεις. ἀκαδημία δὲ ἦν γυμνάσιον ἐν ἀθήναις ἀλσῶδες. ἐν ᾧ διέτριβε πλάτων. ἀπὸ ἀκαδήμου τινὸς ἥρωος. πρότως δὲ ἀκαδημία ἐκαλεῖτο. ὡς καὶ ἀριστοφάνης ἔφη.

Ἀκέφαλος μῦθος.
ἐπὶ τῶν ἀτελῆ λεγόντων

Ἀκίνητα κινεῖς.
ἐπὶ τῶν λίαν παράνομα πραττόντων. ὅτι οὐ δεῖ κινεῖν τύμβους. μὴ τάφους. μὴ ὀρόφην.

Ἄκρῳ ἅψασθαι δακτύλῳ.
ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων.

Ἀκόνῃ σιτίζεις.
ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, μηδὲν δὲ

εἰς σῶμα τῶν διδόντων.

Ἅλας ἄγων καθεύδεις.

Ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων, καὶ ῥᾷστων νενομισμένων. ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος, εἶτα καθεύδοντος τὴν ἀντλίαν ἐπαναβῆναι, καὶ ἐκτῆξαι τοὺς ἅλας.

Ἀληθέστερα τῶν ἐπὶ Σάγρα.

Ἐπὶ τῶν ἀληθῶν, οὐ πιστευομένων δέ. Σάγρα τόπος τῆς Λοκρίδος. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν ἀνατιθεμένῃ. Λοκροὺς δέ φασι τοὺς ἐπιζεφυρίους, πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας, αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους. τῶν δὲ στρατὸν μὲν οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοὺς Διοσκούρους, οἰωνισαμένοις τὸ κὸρ τομηθὲν, τήν τε ναῦν ἀποστρέψαι, καὶ δεηθῆναι τῶν Διοσκούρων συμπλεῖν αὐτοῖς. νικησάντων δὲ αὐθημερόν, καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην, τὸ μετὰ πρῶτον, ἀπιστηθῆναι. ἐπεὶ δὲ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγειν, τοῖς ἀληθέσι τοῖς μέν, οὐ πιστευομένοις δέ.

Ἀληλεσμένος βίος.

ἐπὶ τῶν

περὶ τῶν ἐν ἀφθονίᾳ τῶν πάντῃ τελείων ὄντων.

Ἄλλην δρῦν βαλάνιζε.

περὶ τῶν ἐνδελεχῶς αἰτούντων τι. ἢ παρὰ τῶν αὐτῶν ἀεὶ δανειζομένων. οἱ παλαιοὶ γὰρ βαλάνους ἔσθιον.

Ἀλώπηξ δωροδοκεῖται.

περὶ τῶν ῥᾳδίως δώροις ἁλισκομένων. πρατῖνος. νόμοις ὑμῶν εἰς μέσον ἕκαστος ἀλώπηξ δωροδοκεῖται.

Ἅλμη οὐκ ἔστιν ἐν αὐτῷ.

ἐπὶ τοῦ ἀηδοῦς καὶ ἀναρτύτου.

Ἀλιτήριος εἶ.

περὶ τοῦ μετὰ βίας τι ποιοῦντος, ἀπὸ σιτοδείας. λιμὸς κατέλαβε ποτὲ τοὺς ἀθηναίους. ἥρπαζον οὖν τινὲς ἀλούμενα τὰ ἄλευρα. ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἀλιτηρίους ἐκάλουν. ὁ δὲ λιμὸς ἐγένετο, ἀπὸ τοῦ αἰτωλικοῦ πολέμου.

Ἀλκυονίτιδας ἡμέρας ἄγεις.

ἐπὶ τῶν ἀταράχων καὶ ἀνεπηρεάστων. περὶ τοῦ ἀριθμοῦ διαφέρονται. σιμωνίδης γὰρ ἐν πεντάθλοις, ἕνδεκα φησὶν αὐτάς. καὶ ἀριστοτέλης ἐν τοῖς περὶ ζώων. δημαγόρας,

ἑπτά. Φιλόχορος φησὶν ἐννέα. τὸν δὲ ἐπ' αὐταῖς μῦθον, Ἡγήσανδρος ἐν τοῖς περὶ ὑπομνημάτων, λέγει οὕτως. Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν, Φωσθονία. Ἄνθη. Μεθώνη. Ἀλκίππη. Παλλήνη. Δριμώ. Ἀστερίη. αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Παλλήνης, ἔρριψαν αὑτὰς εἰς τὴν θάλασσαν. Ἀμφιτρίτη δὲ αὐτὰς ὄρνιθας ἐποίησε. καὶ ἀπὸ τοῦ πατρὸς ἀλκυόνες ἐκλήθησαν. αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι, ἀλκυονίδες καλοῦνται.

Ἀλώπηξ τὸν βοῦν ἐλαύνει.

τάττεται ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων.

Ἁλιεὺς πληγεὶς, νοῦν οἴσει.

ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐλθόντων. ὥσπερ καὶ ὁ πληγεὶς ἁλιεὺς, εὐκόλως μετὰ τὴν τρῶσιν τοὺς ἰχθύας μεταχειρίζεται.

Ἄλλοι σπείρουσιν,

ἄλλοι δ' ἀμήσονται. ἐπὶ τῶν τὰ ἀλλότρια ἐσθιόντων.

Ἄλλοτε μητρυιὰ πέλει ἡμέρα,

ἄλλοτε μήτηρ. ἐπὶ τῶν ποτὲ μὲν εὐημερούντων

ρούντων, ἄλλοτε δὲ δυσημερούντων.

Ἀλώνητον ἀνδρὰ ποδῶν,
τὸ εὐτελὲς καὶ πρὸς ἅλας ὠνητόν.

Ἁλῶν μέδιμνον καταφαγών.
ἐπὶ τῶν ἀχαρίστων.

Ἄλλοι κάμον,
ἄλλοι ὤναντο. ἐπὶ τῶν παρ᾽ ἐλπίδα τὰ τῶν ἄλλων κληρονομούντων.

Ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα.
ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους.

Ἄλλως ᾄδεις.
ἐπὶ τῶν μάτην πονούντων.

Ἄλλο γλαύξ,
ἄλλο κορώνη φθέγγεται. ἐπὶ τῶν ἀλλήλοις ἀσυμφωνούντων καὶ ἐριζόντων τοῖς κρείττοσιν.

Ἄλλην μὲν ἐξήντλουν,
ἡ δ᾽ ἐπιέρρει. ἐπὶ τῶν μάτην πονούντων.

Ἄλλα μὲν Λύκων,
ἄλλα δὲ Λύκωνος υἱός. ἐπὶ τῶν ἐχόντων τοὺς λόγους ἀσυμφώνους τοῖς ἔργοις.

Ἄλλοισι μὲν γλῶσσα,

ἄλλοισι δὲ γόμφιοι. ἐπὶ τῶν λάλων καὶ φάγων.

### Ἀλκήστιδος ἀνδρεία.

ἐπὶ τῶν καρτερικῶν. καὶ ἀλκήστιδος ἀναβίωσις. ἐπὶ τῶν ἀδυνάτων καὶ ἀπίστων. λέγεται γὰρ μῦθος τραγικώδης. ὡς δὴ μέλλοντος ἀδμήτου θανεῖν, αὕτη εἵλετο ὑπὲρ αὐτοῦ θάνατον. καὶ ἡρακλῆς αὐτὴν διὰ τὴν εὐσέβειαν ἀφελόμενος καὶ ἀναγαγὼν αὐτὴν ἐκ τοῦ ᾅδου, ἀπέδωκεν ἀδμήτῳ. ἐμοὶ δὲ δοκεῖ μηδένα ἀποθανόντα δύνασθαι τινὰ ἀναβιῶσαι. ἀλλ' ἐγένετό τι τοιοῦτον. ἐπειδὴ πελίαν ἀπέκτειναν αἱ θυγατέρες αὐτοῦ, καὶ ἄκαστος ὁ πελίου ἐδίωκεν αὐτὰς, οὐ λαμβάνει μέν. ἄλκηστις δὲ καταφεύγει εἰς φορὰς πρὸς ἄδμητον ἀνεψιὸν αὐτῆς. καὶ καθεζομένη ἐπὶ τῆς ἑστίας οὐκ ἐβούλετο ἄδμητος ἀκάστῳ ἐκδοῦναι ἐξαιτουμένῳ δοῦναι. ὁ δὲ, πολλὴν στρατιὰν περικαθίσας ἐπὶ τὴν πόλιν, ἐπυρπόλει αὐτοὺς. ἐπεξιὼν δὲ ὁ ἄδμητος ἔχων καὶ λοχαγοὺς νύκτωρ, συνελήφθη ζῶν. ἠπείλει δὲ ἄκαστος ἀποκτεῖναι αὐτόν. πυθομένη δὲ ἡ ἄλκηστις, ὅτι μέλλει ἀναιρεῖσθαι ἄδμητος δι' αὐτὴν, ἐξελθοῦσα,

θῦσαι, ἑαυτὴν παρέδωκε. τὸν οὖν ἄδμητον ἀφίησιν ὁ Ἄκαστος. ἐκείνην δὲ συλλαμβάνει. ἔλεγον οὖν οἱ ἄνθρωποι, ἀνδρεία γε ἡ ἄλκηστις. ἐκοῦσα ὑπεραπέθανεν ἀδμήτου. τοιοῦτο μὲν τοι οὐκ ἐγένετο ὥς ὁ μῦθος φησί. κατὰ γοῦν τὸν καιρὸν τοῦτον ἡρακλῆς ἧκεν ἄγων ἔκ τινος τόπου τὰς διομήδους ἵππους. τοῦτον ἐκεῖσε πορευόμενον ἐξένισεν ἄδμητος. ὀδυρομένου δὲ ἀδμήτου τὴν συμφορὰν περὶ ἀλκήστιδος, ἀνακτησάμενος ἡρακλῆς, ἐπιτίθεται τῷ Ἀκάστῳ, καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρει. καὶ τὰ μὲν λάφυρα, τῇ αὐτοῦ στρατιᾷ διανέμει. τὴν δὲ Ἄλκηστιν τῷ Ἀδμήτῳ παραδίδωσιν. ἔλεγον οὖν οἱ ἄνθρωποι, ὡς ἐντυχὼν ἡρακλῆς, ἐκ τοῦ θανάτου ἐρρύσατο τὴν ἄλκηστιν. τούτων γινομένων ὁ μῦθος προσανεπλάσθη.

Ἄλλοτε δ᾿ ἀλλοῖον τελέθειν,

ἡ χώρα. ἐπειδὴ ὅτι προσήκει ἐξομοιοῦν ἑαυτὸν, ἐν οἵοις ἂν τόποις γένοιτο. εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων.

Ἄλλος οὗτος ἡρακλῆς.

ἐπὶ τῶν ἰσχυρῶν.

Ἄλα καὶ κύαμον.

ἐπὶ τῶν εἰδέναι μὲν προσποιουμένων, οὐκ εἰδότων δέ. οἱ γὰρ μάντεις, ἅλα καὶ κύαμον παρέθεσαν.

Ἅλις δρυός.

ἐπὶ τῶν ἐς τινα δίαιταν βελτίονα μεταβαλλομένων. παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοί, μετεῖχον σίτου καὶ οἴνου.

Ἀλλ' οὐ λαχοῦσ' ἔπινον ἐν τῷ γράμματι.

ἐπὶ τῶν μεθυόντων. οἱ γὰρ ἀθηναῖοι οἱ κατὰ γράμμα ἐκληροῦντο ἀπὸ τῶν φυλῶν. δέκα δὲ ἦσαν αἱ φυλαί. οἷον ἡ πρώτη, τὸ ἄλφα. ἡ δευτέρα, τὸ βῆτα εἶχε σημεῖον. μέχρι τοῦ κάππα. δέκα γὰρ οὐσῶν φυλῶν δέκα ἐγίνοντο δικαστήρια. ὁ οὖν λαχὼν τὸ ἄλφα πρῶτος ἐδίκαζε. καὶ οἱ ἄλλοι ὁμοίως. τάχα οὖν σὺ λαχοῦσα φησίν, οὐκ ἐδίκαζον. ἀλλ' ἔπινον.

Ἀμαλθείας κέρας.

ἐπὶ τῶν ἀφθόνως καὶ εὐδαιμόνως ζώντων. ὅτι τῇ τροφῷ αὐτοῦ ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσῃ αὐτὸν, παρέσχε κέρας αἰγός. δι' οὗ ἐπέβλυζεν αὐτῇ, πᾶν ὃ ἂν ἐκτήσατο.

Καὶ ἄλλως.

λέγεται τὴν ῥέαν τεκοῦσαν τὸν δία δεδωκέναι τῇ ἀμαλθείᾳ τρέφειν. ἡ δὲ, μὴ ἔχουσα, αἰγὶ ὑπέβαλεν αὐτόν. ὅθεν αἰγίοχος ἐκλήθη. ὁ τοίνυν ζεὺς, τὴν μὲν αἶγα καθιστέρισεν ἐν τῷ οὐρανῷ. τὸ δὲ ἓν τῶν κεράτων ἀφελὼν, τῇ ἀμαλθείᾳ δέδωκε. παρασκευάσας αὐτῇ γίνεσθαι πᾶν ὅπερ αἰτήσει διὰ τοῦ κέρατος.

ὁ δὲ παλαίφατος περὶ ἀμαλθείας,

οὕτω φησὶν, ὅτι ἡρακλῆς ἀποδημῶν εἰς τὴν Βοιωτίαν μετὰ ἰολάου τοῦ ἀδελφιδοῦ, καταλύει ἐν θεσπιαῖς ἔν τινι πανδοχεῖ. ἐν ᾧ ἦν τὶς γυνὴ καλουμένη ἀμάλθεια, ὡραία καὶ καλή. ὁ δὲ ἡρακλῆς ἡδόμενος αὐτῇ, πλείονα χρόνον ἐξενίζετο. ἰόλαος δὲ βαρέως φέρων, ἐπινοεῖ τὴν ἐμπολὴν τῆς ἀμαλθείας ἐν κέρατι κειμένην ἀνελέσθαι. ἐξ ἧς ἐμπολῆς, εἴ τι ἤθελεν ὠνεῖτο καὶ τῷ ἡρακλεῖ. ἔλεγον οὖν οἱ συνέκδημοι, ἡρακλῆς τὸ κέρας ἔχει τῆς ἀμαλθείας. ἐξ οὗ ὠνεῖτο ὅσα βούλοιτο ἐπ' αὐτῷ. ὅθεν ὁ μῦθος προσανεπλάσθη.

Ἀμαία τὴν ἀζησίαν μετῆλθεν.

ἐπὶ τῶν πολυχρονίοις ζητήσεσι χρωμένων. ἀμαία γὰρ ἡ δημήτηρ. ἀζησία δὲ ἡ κόρη.

Ἄμαξα βοῦν ἕλκει.

ἐπὶ τῶν ἀντιστρόφων καὶ ἀδυνάτων.

Ἀμφιδρομίαν ἄγεις.

τὴν πέμπτην ἄγουσιν, ἐπὶ τοῖς βρέφεσιν. ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως· τὸ δὲ βρέφος περιφέρουσι, τὴν ἑστίαν τρέχοντες. καὶ δῶρα πέμπουσιν οἱ προσήκοντες ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας.

Ἀμφιθέτῳ ἔπινον.

ἐπὶ τῶν ζωροποτούντων. ἀμφίθετος δέ ἐστι φιάλη, ἡ κατὰ πᾶν μέρος αὐτῆς τιθεμένης, ἀπύθμενος. οὐ τὸ παρ᾽ ἡμῖν ποτήριον. ἀλλὰ γρύπος λέβητος. ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν.

Ἀμφιθαλὴς ἔρως ἐστὶν ἐν ὑμῖν.

ὁ ἐν ἀμφοτέροις θάλλων, ἢ φίλοις ἢ γονεῦσι, καὶ μηδενὸς ὠρφανισμένου.

Ἄμυρις μαίνεται. ἐπὶ τοῦ φρονήσους. οὗτος θεωρὸς ὑπὸ συβαριτῶν πεμφθεὶς εἰς δελφοὺς περὶ σωτηρίαι

περὶ εὐδαιμονίας, καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν συβαριτῶν ἔσεσθαι τότε, ὅτ' ἀνθρώποις θεῶν προτιμήσωσι, θεασάμενος δοῦλον πρὸς ἱερῷ μαστιζόμενον, καὶ προσφυγόντα τῷ ἱερῷ, ὡς μὴ ἀφελκύμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πρὸς μνῆμα καταφυγόντα ἀφελκυσθῆναι, συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὸν βίον, ἀπῆρεν εἰς πελοπόννησον. ὃ οὖν λογισμῷ πεποιήκει, τοῦτ' εἰς μανίαν συβαρῖται μετέστρεψαν. ὁ δὲ παρὰ χρόνῳ διὰ τὴν προσποίητον μανίαν, ἐθαυμάσθη.

Ἄμματα πλέκεις.

ἐπὶ τῶν σκολιῶν τοὺς τρόπους. ἀπὸ τῶν ἐν κασίῳ πηλουσιωτῶν. οἱ φυσικῇ τέχνῃ, ἄμματα ἔπλεκον, δολίως ἐπὶ δεσμοῖς συνάπτοντες.

Ἀμυστὶ πίνειν,

λέγεται ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων. οἱονεὶ μὴ δὲ μυσάντων. τοῦ αὐτοῦ ἔχεται, καὶ τὸ ἐξαμυστῆσαι.

Ἅμας ἀπήτουν.

οἱ δ' ἀπεκρίναντο σκάφας. ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτούντων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.

Ἁμαρτεῖν οὐκ ἔνεστι δὶς ἐν πολέμῳ.

πρόσθεν οὐδ' ἅπαξ ἁμαρτεῖν δεῖ. οὐχ ὅτι ἐν τῷ δε, ἀλλὰ καὶ ἐν ἄλλοις.

Ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις.

ἐπὶ τῶν ἀχαρίστων. εὐεργετηθέντων μὲν, ταχέως μὲν ἐπιλανθανομένων τῆς χάριτος.

Ἀμουσότερα λειβηθρίων.

ἐπὶ τῶν ἀπαιδεύτων.

Ἄμμες πότ' ἦμεν. ἀεὶ τὰ πρόσθεν βελτίω. ταπεινούμενοι ἀθηναῖοι τοῦτ' ἔλεγον.

Ἀμύει ὡς ἔοικεν ἡ πάγη.

ἐπὶ τῶν διὰ τῆς ἄλλων ἀπωλείας σωζομένων.

Ἀμαθὴς ἀναξυρίδα περιθέμενος.

πᾶσι ταύτην ἐδείκνυ ἐπὶ τῶν εὑρόντων τύχην τινὰ, ὧν οὐκ ἦσαν ἄξιοι.

Ἁμαξιαῖα ῥήματα.

ἐπὶ τῶν μεγάλων λόγων.

Ἅμ' ἔπος, ἅμ' ἔργον.

ἐπὶ τῶν ὀξέως ἀνυομένων.

Ἅμα δίδου καὶ λάμβανε.

ὅταν πρὸς ἄπιστον συναλλάσσωμεν.

Ἀνάισχυντος καὶ σιδηροῦς ἄνθρωπος.

ἐπὶ τῶν ἀπηρυθριακότων, καὶ μὴ δὲ μίαν

μεταβολὴν

μεταβολὴν τοῦ προσώπου ποιουμένων.

Ἀντὶ χαρίεντος ἰατροῦ,
κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς. ἐπὶ τῶν μὴ ταῖς ἰδίαις τέχναις ἀρκουμένων, ἀλλὰ παρ' ὧν οὐκ ἴσασι δόξαν ἐφελκομένων προσποίητον. Πειρίανδρος γάρ τις ἰατρὸς ἀξιόλογος κατὰ τέχνην ὤν, καὶ ἐπαινούμενος διὰ τὰ μάλιστα, φαῦλα ποιήματα ἔγραφεν.

Ἂν τοὺς φίλους μισῶμεν,
τί ποιήσομεν τοὺς μισοῦντας. ἐξ ἀποφθέγματος.

Ἀνδρὸς κακῶς πράσσοντος,
ἐκποδὼν φίλοι. ἐπὶ τῶν ἐν τοῖς κακοῖς μηδεμίαν εὑρισκόντων παρὰ τοῖς φίλοις ὠφέλειαν.

Ἀνδραποδώδης θρίξ.
ἐπὶ τῶν ἠλιθίων.

Ἄνθρακες ὁ θησαυρὸς ἦσαν.
ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθὰ, καιομένων δὲ, ἀφ' ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς.

Ἄνθρωπος εὔριπος.
ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.

Ἀντρώνιος ὄνος, καὶ ἀχαρνικοὶ ἵπποι.

ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων. τοιοῦτοι γὰρ οἱ ὄνοι ἐν ἄντρῳ, καὶ οἱ ἵπποι ἐν ἀχαρναῖς.

Ἀνέλπιστον βίον ζῇς.

τὸν κάλλιστον εἰρήκασιν ἀττικοί. ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἔπλουτουν, ἀλλὰ πάρεισιν ἤδη τὰ ἀγαθά. οὕτω πίνδαρος.

Ἄνω ποταμῶν.

ἐπὶ τῶν ἐναντίως λεγομένων. ὡς ὅταν ὁ πόρνος τὸν σώφρονα λέγῃ πόρνον.

Ἀνερρίφθω κύβος.

ἐπὶ τῶν ἀνελπίστοις ἑαυτῶν ἐπερριπτούντων, ὑπό τινος βίας συνωθουμένων.

Ἀνίπτοις χερσίν.

ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων.

Ἀνὴρ ἀτεχνής, τοῖς πᾶσι δοῦλος.

Ἀνδρεία γέροντος,

στεφίδος τὸ κρανίον. ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων.

Ἀνδρὶ λυδῷ πράγματα οὐκ ἦν,

ἀλλ᾽ αὐτὸς ἐλθὼν ἐπρίατο. ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων. κροῖσος γὰρ ἑαυτῷ πολέμιον ἀπεσπάσατο κῦρον.

Ἀντλεῖ

Ἀντλεῖ ἀμφοτέραις.

ἐπὶ τῶν σπουδῇ τι ποιούντων. ὁμοία τῇ πάντα κάλων κινεῖς.

Ἀντιπελαργεῖν.

ἀντιδιδόναι χάριτας. λέγεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν. ὁ ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον, ἀληθῆ. ὁμοίως δὲ αὐτοῖς φησὶ ποιεῖν καὶ τοὺς ἀεροπόδας. διὸ ἐν τοῖς σκήπτροις, ἀνωτέρω μὲν πελαργὸν τυποῦσι. κατωτέρω δὲ, ἱπποπόταμον. δηλοῦντες, ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. ὁ δὲ ἱπποπόταμος ἐστὶ ζῶον ἀδικώτατον.

Ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ. ὅτι οἱ βαρβάροις καὶ μοχθηροῖς συναναχρωνύμενοι, ἀποφέρονταί τι τῆς ἐκείνων φαυλότητος.

Ἀντιόπης θρῆνος.

ἐπὶ τῶν ἀδίκως πασχόντων, εἶτα τῶν δεινῶν ἀπαλλαγῆς τυχόντων. ἀντιόπη θυγάτηρ Νυκτέως. ταύτην ἔφθειρέ τις τῶν πολιτῶν. ὁ δὲ πατὴρ πέμπει τὸν ἀδελφὸν κολάσαι. ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος, ὤκτειρεν. ἡ δὲ γεν-

να Ζῆθον καὶ Ἀμφίονα. οὓς εἰς ὄρος ἔρριψεν ὁ θεῖος. εἶχε δὲ γυναῖκα ὄνομα Δίρκην. ἥ τις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκον φιλεῖν τὴν Ἀντιόπην, ἀνάγει αὐτὴν εἰς ὄρος. καὶ δήσασα αὐτὴν ἐκ τραχήλου ταύρου καὶ ἀνάψασα δᾶδας ἐκ τῶν αὐτοῦ κεράτων, ἔμελλεν αὐτὴν ἐκλύειν. ἡ δὲ, ἐθρήνει. καὶ θορύβου γενομένου, ἠθροίσθη πλῆθος γεωργῶν. σὺν οἷς καὶ Ζῆθος καὶ Ἀμφίων. καὶ γνωρίσαντες τὴν μητέρα αὐτῶν ἐρρύσαντο αὐτήν. τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ. Ζῆθος καὶ Ἀμφίων κτίζουσι Θήβας, καὶ βασιλεύουσι, καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου τοῦ μετακληθέντος Οἰδίποδος.

Ἀνέμους γεωργεῖν.

Πρὸς τοὺς πονοῦντας καὶ μηδενὸς μεταλαγχάνοντας.

Ἄνους ὁ μακρὸς κατὰ τὴν παροιμίαν.

Ἧς ἐναντία, ἔννους ὁ μακρὸς, λῆρος ἡ παροιμία.

Ἀνάγκῃ, οὐδὲ θεοὶ μάχονται.

Ἀντὶ πέρκης, σκορπίον.

ὑπὲρ τῶν

ἐπὶ τῶν τὰ χείρω αἱρουμένων.

Ἀνδρὸς γέροντος,

αἱ γνάθοι βακτηρία. ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων.

Ἄνθρωπος ἀνθρώπου δαιμόνιον.

ἐπὶ τῶν ἀπροσδοκήτως ὑπὸ ἀνθρώπου σωζομένων.

Ἄντης ποδός.

ἐπὶ τῶν ἄγαν ψυχρῶν. ψυχρὸς γὰρ οὗτος ἐστίν.

Ἀνέμου πεδίον.

ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων

Ἀνδὶ ξύλου μὴ βάδιζε.

περὶ κλεομένους λέγεται. ὃς στρατιώτης ὢν ἀθηναῖος, προσεποιεῖτο πρὸς τοῖς ἄλλοις καιροῖς, τὴν μανίαν. εἰδὼς, ὅτι μισεῖται παρὰ τῶν τῶν πολιτῶν. διὸ καὶ βακτηρίαν ἔχων περιῄει, δι᾽ ἧς ἠμύνετο τοὺς ἐπερχομένους αὐτῷ.

Ἀνίπτοις ποσὶν ἀναβαίνει ἐπὶ τὸ τέγος.

ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων.

Ἀντὶ κακῆς κυνὸς, ὗν ἀπαιτεῖς.

ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀποδιδόντων.

Ἀνεῳγμέναι μουσῶν θύραι.

ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα ἐπὶ τῇ παιδείᾳ. ἂν μὴ λεοντῆ ἐξικνεῖται, τὴν ἀλωπεκῆν πρόσαψον, ὁ νοῦς. ἂν μὴ φανερῶς ἀμυνόμενος ἀντέχῃς, πανουργίᾳ χρῆσαι.

Ἄξιος τριχός.

ἐπὶ τοῦ εὐτελοῦς καὶ τοῦ τυχόντος.

Ἄξιος τοῦ παντός.

ἐπὶ τῶν σφόδρα τιμίων.

Ἄξιος ἐστὶ ἐν ἄργει ἀσπίδος.

ἐπὶ τῶν εὐγενῶν.

Ἄξιος λαβεῖν ὁ μισθός.

ἐπὶ τῶν εἰς κάλλος ἠσκημένων.

Ἀπαιδευτότερος Φιλωνίδου μελιτέως. οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀμαθὴς καὶ ὑώδης. κωμῳδεῖ δὲ αὐτὸν ἀριστοφάνης, ὡς παρασίτους ἔχοντα. καὶ διὰ τῆς λαΐδος ἐρῶντα, κωμῳδεῖται δὲ καὶ ὡς συώδης ἐν τοῖς ἑταίροις αὐτοῦ.

Ἀπιὼν οὖν ἀπατούρια,

ἐπαινῆκον θαργηλιῶνα. ἐπὶ τῶν ἄγαν βραδυνόντων. ἀπατούρια δὲ ἦν ἑορτὴ ἀθήνησιν. ἦν

νῆσιν. ἦγον δὲ τρεῖς ἡμέρας. ἐκάλουν
δὲ τὴν μὲν πρώτην, δορπίαν. ἐπειδὴ φρά-
τορες ὀψίας συνελθόντες εὐωχοῦντο. τὴν
δὲ δευτέραν, ἀνάῤῥυσιν. ἀπὸ τοῦ θύειν. ἔθυον
δὲ διὶ φατρίῳ καὶ ἀθηνᾷ. τὴν δὲ τρίτην,
κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας
ἐγγράφειν εἰς τὰς φατρίας. ἡ δὲ αἰτία, πόλε
μος ἦν ἀθηναίοις πρὸς βοιωτοὺς, περὶ μελαί
νων. ὃ ἦν χωρίον ἐν μεθορίοις. ξάνθιος δὲ
βοιωτὸς προεκαλέσατο τὸν ἀθηναίων βα-
σιλέα θυμοίτην. οὐ δεξαμένου δὲ, μέλανθος
ὑπὲρ δημῶν μεσήνιος γένος, ἀπὸ περικλυ-
μένου τοῦ νηλέως, ὑπέστη ὑπὲρ τῆς βασιλείας.
μονομαχούντων δὲ, ἐφάνη τῷ μελάνθῳ τίς
ὄπισθεν τοῦ ξανθίου, τραγῆν ἐνειμένος μέ-
λαιναν, ἔφη οὖν αὐτὸν ἀδικεῖν δεύτερον ἥ-
κοντα. ὁ δὲ, ἀπεστράφη. ὁ δὲ, παίσας ἀποκτείνει
αὐτόν. ἐκ δὲ τούτου, ἥ τε ἑορτὴ ἀπατούρια.
καὶ διονύσου μελαναιγίδος βωμὸν ἱδρύση-
σαντο. ὁ δὲ θαργηλιὼν, ἐστὶ μὴν ἀθηναίων
καθ' ὃν καὶ ἑορτὴ ἀπόλλωνος, καὶ γὰρ ἀρτέ-
μιδος, θαργήλια λεγομένη. ἐν ᾗ ἥψουν ἀ-
παρχὰς τῷ θεῷ τῶν περιφανέστων καρπῶν.

ἱστᾶσιν· ἐν αὐτῇ γὰρ χοροὶ καὶ ἀγὼν Θαργήλια.

Ἀπορία ψάλτου βήξ.

ἐπὶ τῶν προσχηματιζομένων τὴν ἀδυνασίαν.

Ἀπὸ καλοῦ ξύλου,

καὶ ἀπάγξασθαι. θέλει οὖν λέγειν, βέλτιον ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις ἢ τοῖς φαύλοις. καὶ γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπὸ ἀγαθοῦ ἢ φαύλου πάσχειν.

Ἁπαλοὶ θερμολουσίαις.

ἁβροὶ μαλθακευνίαις. ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαρρεόντων.

Ἀπόγλουτος ὑπάρχεις.

ἀντὶ τοῦ ναυτικός. ἀπόγλουτοι δὲ κυρίως ἐκαλοῦντο οἱ ἀθηναῖοι, ἕνεκα τοῦ ἐν τῷ κωπηλατεῖν συνεχοῦς καθέδρας. οἱ δὲ, διὰ τὸ, Θησέα μετὰ Πειρίθου καταβάντα εἰς ᾅδου, καὶ πρός τινα πέτραν ὑπὸ περσεφόνης ἐπικαθισθέντα σὺν τῷ Πειρίθῳ, ἡρακλέους ἐπὶ τὸν κέρβερον κατελθόντος, παρὰ τοῦ θεοῦ τε αὐτὸν ἐξαιτουμένου, καὶ τῆς πέτρας ἀναρπῶντος, ἐγκαταλειφθῆναι τὸ προσηνωμένον αὐτῇ τῶν γλουτῶν μέρος. διὸ γὰρ εἰς τὴν

μὴν ἐ-

μὲν ἐκείνου, καὶ τοῦ λοιποῦ Ἀθηναίους οὕτως ἐπονομάζεσθαι.

Ἀπ' ἀκροφυσίων λόγους ἐνδείκνυσαι.

οἱονεὶ καινοὺς καὶ νεοποιήτους. ἀριστοφάνης. ῥήματα τά τε κομψὰ καὶ παίγνια ἐπιδείκνυσαι πάντα ἀπ' ἀκροφυσίων. τῶν ἀπὸ κινναβευμάτων. λέγει γὰρ διὰ μὲν τοῦ ἀπ' ἀκροφυσίων, καινῶς εἰργασμένα, καὶ οἷον ἐκ πυρός. διὰ δὲ τοῦ ἀπὸ κινναβευμάτων, οἷον καινῶς πεπλασμένα, καὶ διάθεσιν ἔχοντα. κίνναβος γὰρ τὸ εἴδωλον πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες, διατίθενται πλάττοντες καὶ γράφοντες. ἔστι δὲ εἴδωλον, σκιοειδὲς ὁμοίωμα. ἢ φαντασία σώματος, ἀεροειδής τε σκιά. ὡς δὲ Βακχυλίδης. μελαμβαφὲς εἴδωλον, ἀνδρὸς ἰθακησίου. καὶ ὁ ποιητὴς, ἀντικλέας. τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον. αὐτὸς δὲ, ἡ ὑπόστασις ἡ ἀληθής.

Ἀπίδων πανδαισία.

ἐπὶ τῶν ἄγαν τρυφηλῶν. ἄπιδες δὲ, θεοὶ ἦσαν αἰγύπτιοι τιμώμενοι παρ' αὐτοῖς, σημεῖον ἔχοντες παρὰ τὴν οὐρὰν καὶ τὴν γλῶτταν, δηλοῦν εἶναι αὐτοὺς ἄπιδας. οἷς γινομένοις διὰ

χρόνου ὡς ἔλεγον ἐκ τοῦ σέλαος, διὸ σεληνιάδος ἑορτὴν ἦγον μεγάλην. καὶ ἱερεῖς τινὲς παρὰ τὸν τεχθέντα βοῶν ἱδρῶντο, παρατιθέντες πανδαισίαν, ὡς εὐωχοῦντες αὐτούς.

Ἅπανθ' ὅμοια καὶ ῥοδῶπις ἡ καλή.

σημαίνει ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί.

Ἅπασαν τὴν οὐσίαν ἠμφίασται.

ἐπὶ τῶν μὴ δ' ὁτιοῦν ἄλλο κεκτημένων, ἢ ὅπερ ἀμπίσχονται.

Ἀποστολικὴν διάγεις πολιτείαν.

ἐπὶ ἐναρέτως καὶ θεαρέστως βιούντων. ἔστι δὲ αὕτη. ὀφθαλμῶν ἀκρίβεια. γλώσσης ἐγκράτεια. σώματος δουλαγωγία. φρόνημα ταπεινόν. ἐννοίας καθαρότης. ὀργῆς ἀφανισμός. ἀγγαρευόμενος, προστίθει. ἀποστερούμενος μὴ δικάζου. μισούμενος ἀγάπα. βιαζόμενος ἀνέχου. βλασφημούμενος, παρακάλει. νεκρώθητι τῇ ἁμαρτίᾳ. συσταυρώθη τῷ χριστῷ. ὅλην τὴν ἀγάπην μετάθου ἐπὶ τὸν κύριον.

Ἀπὸ γραμμῆς.

οἷον ἀπ' ἀρχῆς. εἴρηται δὲ ἀπὸ τῆς τῶν δρομέων γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβίδα ἦν

δα καλοῦσιν.

Ἀπόλεμος.

τίθεται ἐπὶ τῶν μὴ δὲ μίαν πρόφασιν ἐχόντων πολέμου. θρασάντων δὲ τὰ πολεμίων.

Ἀπὸ λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι.

ἐπὶ τῶν ἐν ἐσχάτῳ κινδύνῳ ὄντων.

Ἀποφράδες ἡμέραι,

αἱ ἀνεπιτήδειοι πρὸς πράξεις, ἐν αἷς καὶ τοῖς κατοιχομένοις χοὰς ἐπέφερον.

Ἀπὸ λύκου θύρας.

ἐπὶ τῶν ἀπράκτως εὐθὺς ἀπιόντων. οἱ δὲ, ἐπὶ τῶν ἀπηνῶν καὶ ἀγρίων.

Ἄπλυτον πώγων' ἔχεις.

σκώπτων εἶπε.

Ἀπ' ὄνου καταπεσών.

ἀπὸ τῶν ἱππικῆς ἐπιχειρούντων, μὴ δυναμένων δὲ, μὴ δὲ ὄνοις χρῆσθαι. ἀριστοφάνης ἐν νεφέλαις. τί δῆτα ληρεῖς; ὥσπερ ἀπ' ὄνου καταπεσών. ὁ δὲ πλάτων ἀπ' ὄνου καταπεσὼν ἐν τοῖς νόμοις. καὶ μὴ καθάπερ ἀχάλινον στόμα, βίᾳ ὑπὸ τοῦ λόγου φερόμενον.

Ἄπληστος πίθος.

ἐπὶ τῶν γαστριμαργούντων. ἢ ἐπὶ τῶν ἀδυνάτων. τετρημμένος γὰρ ἦν.

Ἀπὸ μείζονος ἀνδρὸς ἄλλου.

ἤγουν φυλάττου. ἔστι δὲ ἰωνικόν.

Ἀπὸ βραδυσκελῶν ὄνων,

ἵππος ὕρησεν. ἐπὶ τῶν ἐξ εὐτελῶν ἐπὶ τὰ μείζω χωρούντων.

Ἅπαντα σοφοῖς ῥᾶστα.

ἐπὶ τῶν διὰ φρόνησιν, καὶ τῶν δυσκόλων περιγινομένων.

Ἀπώλεσε τὸν οἶνον ἐπιχέας ὕδωρ.

αὕτη γέγονεν ἐκ τοῦ Ἀριστίου κύκλωπος. ὥς φησι χαμαιλέων ἐν τῷ περὶ σατύρων.

Ἀπὸ γραμμῆς καὶ ἀπὸ βαλβῖδος.

ἤτοι ἀπ' ἀρχῆς καλὸν δεῖν.

Ἁπλοῦς ὁ μῦθος τὴν ἀλήθειαν ἔφη.

ἐπὶ τῶν τῇ ἀληθείᾳ χρωμένων.

Ἅπας ἐχῖνος τραχύς.

ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων. ἐξαιρέτως δὲ, ἐπὶ κακῷ τινί, ἢ συνέχω.

Ἀπήντησε κακοῦ βολὴ πρὸς ὑπερτάτην ἄτην. ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν.

Ἀπὸ κώπης ἐπὶ βῆμα.

ἐπὶ τῶν

ὑπὸ τῶν ἀθρόως μεγίστοις ἐγχειρούντων.

Ἀπόλωλεν ἡ ὗς καὶ τὸ τάλαντον καὶ ἡ γνάθος. ἐπὶ τοῦ μὴ τυχόντος ὧν ἤλπισεν. ἐπὶ γάμου δὲ ἐῤῥέθη μὴ γινομένου.

Ἀπόπληκτος ἄνθρωπος.

Μάρκος ἀντωνίνου ἀδελφὸς βασιλέως ῥωμαίων, ἀσθενέντως διαφθείρεται. πλῆθος ἰχῶρος τε καὶ πνεύματος, ἐπισχόντος οἱ τὴν ἀναπνοήν. ὁ δὴ πάθος, ἀποπληξία καλεῖται. ὅθεν ἀπόπληκτος ἄνθρωπος ὁ πεπονθώς.

Ἀποτίσεις χοῖρε γίγαρτα.

οἷον, ἃ κατέφαγες, ἀποδώσεις.

Ἀράβιος ἄγγελος.

Μένανδρος ἐν ἀνατιθεμένῃ ἢ μεσήνια παρὰ τὴν παροιμίαν. ἀράβιος αὐλητής. τίθεται δὲ ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων. τὸ παλαιὸν δέ φασι, τοὺς ἐλευθέρους. μὴ μανθάνειν αὐλεῖν, διὰ τὸ βάναυσον. τῶν δὲ ἀνδραπόδων τὰ πολλὰ ἦν βάρβαρα καὶ ἀράβια. ἐφ᾽ ὧν ἐλέχθη, δραχμῆς μὲν αὐλεῖ τεττάρων δὲ παύεται. ὅθεν Κάνθαρος μηδέα. κιθαρῳδὸν ἐξεγείρατε. ἀράβιον τὸν χορὸν σοφόν. καὶ πάλιν μένανδρος.

μεσσηνία. ἀράβιον ἄρ᾽ ἐγὼ κεκίνηκα αὐλόν,

Ἀρκάδας, μιμούμενος.

ταύτῃ κέχρηται πλάτων ἐν πεισάνδρῳ. ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων. μαχιμώτατοι μὲν γὰρ ὄντες, αὐτοὶ μὲν οὐδέ ποτε ἐνίκησαν. ἄλλοις δὲ αἴτιοι νίκης πολλοῖς ἐγένοντο. καὶ ὁ πλάτων οὖν διὰ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν, ἀρκάδας μιμεῖσθαι ἔφη.

Ἀργεία φωρά.

ἐπὶ τῶν συκοφαντούντων.

Ἄρτι τὴν ἀρετὴν ζητεῖς

ἐπὶ τῶν παρὰ καιρὸν πονούντων ἐπί τι.

Ἀρχαϊκὰ φρονεῖς.

ἐπὶ τῶν μωρῶν καὶ εὐηθῶν.

Ἀρκάδιον βλάστημα.

κατεσπάρη ἐπὶ τοῦ δειλοῦ.

Ἀρχὴ σκυρία

ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων. πρόσοδον πετρώδης ἐστὶ λυπηρά, ἀπὸ θησέως ἐπιθεμένου τῇ λυκομήδους ἀρχῇ, ὅτι πείρων τὴν γυναῖκα αὐτοῦ, καταρρημνισθείη. ὀστρακισθῆναι δὲ πρῶτον ἀθήνησι θησέα ἱστορεῖ θεόφραστος

θεόφραστος ἐν τοῖς πρώτοις καιροῖς.

Ἄρκτου παρούσης, ἴχνη ζητεῖς

ἐπὶ τῶν περιδήλων.

Ἀργυραῖς λόγχαις μάχου,

καὶ πάντων κρατήσεις. ἀντὶ τοῦ διὰ χρυσοῦ πάντα νικήσεις.

Ἀργύρου κρῆναι λαλοῦσιν.

ἐπὶ τῶν ἀπαιδεύτων. δι᾽ ὑπερβολὴν δὲ πλούτου παῤῥησιαζομένων.

Ἄρνα προβάλλειν.

ἐπὶ τῶν πολεμεῖν αἱρουμένων. οἱ γὰρ πολεμεῖν βουλόμενοι κήρυκα ἔπεμπον, ἄρνα ἐπιφερόμενον. ὃς ἠφίει ἔνδον τὸν ἄρνα. μηλόβοτον τὴν πόλιν αὐτῶν ἐκ τούτου δεικνύων ἔσεσθαι.

Ἀρχή, ἥμισυ παντός.

ἐπὶ τῶν εἴς τι προκοπτόντων.

Ἀρχαιότερα τῆς διφθέρας λέγεις.

ἐπὶ τῶν μακρὰ διηγουμένων. ἡ γὰρ διφθέρα ἐν ᾗ ὁ Ζεὺς ὑπεγράφετο τὰ γινόμενα, παμπάλαιος ἦν.

Ἀρᾶς ἱερόν.

ἐπὶ τῶν πολλὰ ἀρωμένων ἐπὶ χρηστοῖς

ἢ φαύλοις.

Ἀρχὴ ἄνδρα δείκνυσιν.

ἐπὶ τῶν πρὸ μὲν τῆς ἀρχῆς ἐπιεικῶν δοκούντων. ἐν αὐτῇ δὲ κακῶν φαινομένων.

Ἀργούντων χορός.

ἐπὶ τῶν κακὰ ποιούντων.

Ἀρίγνωτος σμάραγδος,

ἐν μὲν τῷ φάει σκοτεινός. πρὸς τοὺς ἀποκρύπτοντας ἑαυτοὺς ὅπου οὐ χρή.

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν. εἰς ἀπαιδεύτους ἂν ῥηθείη.

Ἄρεος νεοττόν.

ἐπὶ τῶν φιλοπολέμων

Ἀρότρῳ ἀκοντίζεις.

ἐπὶ τῶν ἀδιασκέπτως τι ποιούντων.

Ἀσκὸν δαίρεις.

ἐπὶ τῶν ἀνοήτως τι ποιούντων.

Ἀτρέως ὄμματα.

οἷον ἄτρεπτοι καὶ σκληροί. εἴρηται δὲ ἀπὸ τῆς Ἀτρέως παρανομίας. ὃς ὑπονοήσαι ἐκ διαβολῆς τὸν ἀδελφὸν Θυέστην μοιχεύειν τὴν γυναῖκα αὐτοῦ, τὰ τέκνα τοῦ Θυέστου συγκόψας καὶ ἑψήσας, δεῖπνόν τι προέθηκε τῷ

πατρί

παρ᾽ οἷ. αἴσθησιν παρέχων τῆς συμφορᾶς, ἐν τῷ τελευταῖα τὰ ἄκρα παραθεῖναι.

Ἀστικὸν βλέπος.

ἐπὶ τῶν κοσμίων καὶ σοφῶν. οἱ γὰρ ἀστικοὶ, ὑπὲρ σοφὸν καὶ σύνεσιν εἶχον τὸ βλέμμα.

Ἄτεκτος ἄνθρωπος παρηγορήμασιν.

ὁ μὴ βρεχόμενος μὴ δὲ ἱέμενος παραμυθίαν. ἀλλὰ σκληρὸς ὢν ὡς ἡ πέτρα, ἢ ἄλλο τι τῶν σκληρῶν, ὡς μὴ δὲ ὑπὸ ὕδατος διαβρέχεσθαι.

Ἄτρωτος ὑπάρχεις ὡς ὁ καινεύς.

λέγουσι γὰρ ὅτι οὕτως ἄτρωτος ἦν. ὃς δ᾽ ὑπολαμβάνει ἄτρωτος ἀπὸ σιδήρου ἄνθρωπου, σύνηθες ἐστίν. ἡ δὲ ἀλήθεια ἔχει οὕτως καινεὺς ἦν θετταλὸς τὸ γένει. ἀγαθὸς τὰ πολεμικά. καὶ ἐπίσημον τοῦ μάχεσθαι. γενόμενος δὲ ἐν πολλαῖς μάχαις οὐδέ ποτε ἐτρώθη. ὅτε λαπίθαις συμμαχῶν πρὸς τῶν κενταύρων ἀπέθανεν. ἀλλὰ συλλαβόντες αὐτὸν μόνον, κατέχωσαν. καὶ οὕτως ἐτελεύτησεν. ἔλεγον οὖν οἱ λαπίθαι ἀνελόμενοι τὸν νεκρὸν αὐτοῦ, καὶ εὑρόντες μὴ τετρωμένον τὸ σῶμα, καινεὺς τόν γε ἄλλον βίον ἄτρωτος ἦν. καὶ ἀπέθανεν ἄτρωτος.

Ἀτὰρ ἡ πάγη ἔοικε λήψεσθαι πάγιον

ὡς μοιχὸς ἐπὶ μοιχῷ.

Αὐτὴ νῦν ἡ σοφία ζῇ.

ἐπί τινος εὐδοκιμοῦντος.

Αὕτη μὲν ἡ μύρινος οὐδὲν ἔπαινεῖν.

ἀντὶ τοῦ ἁλισεῦ τῶν εἰρηκότων τοῦ ἀποτυγχανόντων.

Αὐτὸν κεκρούκας τὸν βατῆρα περὶ θύρας οἴομ, ἐπὶ αὐτὰς ἀφῖξαι τὰς θύρας.

Αὐλητοῦ βίον ζῇς.

ἐπὶ τῶν ἐξ ἀλλοτρίων βιούντων.

Αὖθις πυθοῦ.

ἐπὶ τῶν εἰς τὰ πρῶτα παλινδρομησάντων.

Αὐτὸς εὗρε τοῦ κακοῦ τὴν πιτύαν καὶ τὴν πηγήν. ἐπὶ τῶν ἑαυτοῖς τὰ κακὰ ἐπισπωμένων.

Αὐτομάτως ὁ θεὸς ἀνίησι τ' ἀγαθά.

ἐπὶ τῶν ἀπραγμόνως εὐδαιμονούντων.

Αὐτὸς ἔφα.

ἐπὶ τῶν ἀναφερόντων τι ἐπί τινα τῶν ἀξιοπίστων.

Αὐτοῦ ῥόδος αὐτοῦ πήδημα.

ἐπὶ τῶν ἀλαζονευομένων ἐπί τινι. ἀπὸ ῥοδίου τινὸς ἀλαζονευομένου ἐπὶ τῷ ἅλεσθαι.

Αὐτοὶ

Αὐτοὶ χελώνας ἐσθίετε.

ἐπὶ τῶν λιμβῶν. ἁλιεῖς γὰρ ἠλίευσαν μεγάλην χελώνην. καὶ ἀνασπάσαντες αὐτὴν, ἐμέριζον τὴν παροῦσαν. τὸν δὲ ἑρμῆν παρόντα, ἐπὶ τὴν ἑστίασιν ἐκάλουν. ὁ δὲ τὸ προκείμενον εἶπεν.

Ἀφροδίσιον.

ἔργον ἀφροδίτης. λαμβάνεται δὲ, ἐπὶ τῶν λάγνων τῶν ἐρωτικῶς περὶ τὴν συνουσίαν καὶ σφοδρῶς διακειμένων

Ἄφρων ὁ μὲν ἀπολέσει ἔχει,
ὃ δ' εἰς τὸ δέον ἀναλώσει, οὐκ ἔχει.

Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.

ἐπὶ γὰρ τοῖς ἐρωτικοῖς ἐπιορκούμενοι οἱ θεοὶ, οὐκ ὀργίζονται.

Ἀφύα ἐν πῦρ.

ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων. παρ' ὅσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει.

Ἀφροδίτῃ ὗν τέθυκεν.

ἐπὶ τῶν ἀχαρίστων. τῇ γὰρ ἀφροδίτῃ ὗς οὐ θύεται διὰ τὸν ἄδωνιν.

Ἀφ' ἑστίας.

ἐπὶ τῶν ἐξ ἀρχῆς τί πραττόντων

Ἀφ' ὕψηλοῦ μου καταγελᾷς.

ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων. ὡσανεὶ πάνυ μου καταφρονῆς.

Ἀχθοφόρος αἰγύπτιος.

ἐπὶ τῶν βαρέα βασταζόντων. πολλαχοῦ γὰρ οἱ ποιηταὶ ἀχθοφοροῦντας τοὺς αἰγυπτίους φασί.

Ἄχθομαι αὐτοῦ τοῦ ῥύπου.

αὐτὶ τοῦ τῇ ἀνελευθερίᾳ καὶ μικρολογίᾳ. τὸν γὰρ ῥύπον ἐπὶ τῶν ἀνελευθέρων ἐτίθεσαν. οὕτω γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους.

Ἀχρειόγελως ἄνθρωπος,

ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.

Ἄχειρ νιφθῆναι βούλεται.

ἐπὶ τῶν ἀδυνάτων.

Ἄχρι κόρου.

ὅτι ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐστι. καὶ οὗτος ἄχρι κόρου φενακίζει.

Ἀχνυμένη σκυτάλη.

ἐπὶ τῶν λυπρὰς ἀγγελίας ἀγγελλόντων. ἔθος γὰρ ἐπὶ ξύλου εἱλίσσειν τὸ γραφὲν ἐν σκυτάλῃ καὶ πέμπειν. οἱονεὶ ἀπειλοῦντες οἱ πα

λαιοὶ

ἄλλοι οἷς ἐβούλοντο πέμπειν. οἱ δὲ δεχόμενοι ἴσῳ σκυτάλῃ ἀντηπείλουν.

Βαθεῖαν αὔλακα.

ἐπὶ τῶν βαθείας φρένας καὶ κεκρυμμένας ἐχόντων.

Βάκηλος εἶ.

ἀντὶ τοῦ γυναικώδης καὶ ἄνανδρος. ὁ γὰρ βάκηλος, μέγας μὲν ἦν. ἀνόητος δὲ καὶ γυναικώδης.

Βάκχης τρόπον.

ἐπὶ τῶν ἀεὶ συγνῶν καὶ σιωπηλῶν. παρ' ὅσον αἱ βάκχαι σιγῶσιν.

Βάλλ' εἰς μακαρίαν.

οἷον, εἰς ἄδην. Μακαρία γὰρ ἡ ἡρακλέους, ὁπηνίκα ἐπεστράτευσεν ὁ εὐρυσθεὺς ταῖς ἀθήναις, ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας.

Βάμματα κυζικηνόν,

τὴν ἀκάθαρτον ἀσχημοσύνην οἱ ἀττικοὶ λέγουσι.

Βάμμα σαρδιανικόν.

ἀντὶ τοῦ μήσει ἐρυθρὸν ποιήσω. νῆσος γάρ ἐστιν μεγίστη ἡ σαρδὼ πρὸς τῇ ἰταλίᾳ.

ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. βούλεται οὖν δηλοῦν, ἵνα μήσει πληγὰς ἐντρίψω.

Βάττου σίλφιον.

ἐπὶ τῶν σπανίως τι μεταλαμβανόντων. οἱ γὰρ κυρηναῖοι ἐνὶ τῶν Βάττων, ἐξαίρετον ἔδωσαν τὸ σίλφιον. ἐκ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου, σίλφιον ἐτύπωσαν. οἱ δὲ μὲν θατέρου, ἄμμονα. ἐπεὶ δὲ λιβύης ἀμπελιῶται εἰς δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου.

Βάτραχος σερίφιος.

ἐπὶ τῶν ἀφώνων. οἱ γὰρ ἐν τῇ σερίφῳ βάτραχοι, οὐ βοῶσι.

Βατράχῳ οἱ νοχοεῖς.

ἐπὶ τῶν ταῦτα παρεχόντων, ἅπερ οὐ χρήζουσιν οἱ λαμβάνοντες.

Βασίλειος ὀφθαλμός.

τὸν ἐπί τινα ἀρχὴν πεμπόμενον, οὕτως ἐκάλουν.

Βάσανος λίθος.

ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις. παρόσον ἡ λυδία λίθος, τὸν χρυσὸν δοκιμάζει.

Βάλλων φεύξεσθαι οἴει.

πρὸς τοὺς κακόν τι ποιοῦντας καὶ οἰομέ-
νους φυγεῖν.

Βάλλ' εἰς ὕδωρ.

ἀντὶ τοῦ καταπόντισον. ἐπὶ τῶν ὀλέθρου ἀξίων.

Βατράχῳ ὕδωρ,

ἢ στέαρ γαλῇ. ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες.

Βάλλεις μήλοις.

ἐπὶ τῶν τυχεῖν ὧν ἐρῶσι βουλομένων.

Βαλανεὺς εἶ.

ἐπὶ τῶν πολυπράγμονος. οὗτοι γὰρ σχολὴν ἄγοντες, πολυπράγμονές εἰσι.

Βεκκεσέληνε.

ἀρχαῖε καὶ ἀνόητε. σύγκειται ἡ λέξις, ἀπὸ τοῦ, βέκκος ὁ ἄρτος. κατὰ διάλεκτον τῶν λυδῶν. καὶ τοῦ σελήνη. ἀμφότερα γὰρ ἀρχαῖα.

Βησᾶς ἕστηκεν.

ἐπὶ τῶν ὑπομώρων. οὗτος γὰρ ἕστηκεν ἀχανὴς καὶ παταγώδης ἢ ὑπόμωρος.

Βῆξ ἀντὶ πορδῆς.

ἐπὶ τῶν πορδόντων ἢ προσποιουμένων βήττειν ἢ γελᾶν. ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν χρείᾳ τι πράττειν προσποιουμένων.

Βίαντος πριηνέως δίκη.

οὗτος εἷς τῶν ἑπτὰ σοφῶν ἦν. λέγεται δὲ εἰς τὰς δίκας δεινὸς γεγονέναι.

Βίον μεμαγμένον.

ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ.

Βίον ἀκανθώδη.

τὸν τραχὺν καὶ σκληρόν.

Βιβλίον τοὐμὸν μέθυ.

πρὸς τοὺς διαφθείροντας τινὰ ἔργα. ἢ ἐπὶ τῶν φιλολόγων.

Βίοι ἀνθρώπων καὶ φυτῶν σπέρματα.

συνεξομοιοῦνται ταῖς χώραις.

Βία πενήτων,

πλουσίου παράκλησις. παρόσον οἱ μὲν πένητες ἀναγκάζονται. οἱ δὲ πλούσιοι θρύπτονται.

Βλέπειν γὰρ ἄντικρυς δόξεις μ' ἄρην.

ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν.

Βλακὸς ἀχρηστότερος.

εἴρηται ἀπὸ ἰχθύος τινὸς ὁμοίου σιλούρῳ. ἀχρήστου δὲ οὕτως, ὡς μὴ δὲ κυσὶ αὐτῷ χρῆσθαι. οἱ δὲ, ἀπὸ τοῦ πρὸς τῇ κύμῃ χωρίου τῆς

Βλακείας

βλακείας. οὗ μέμνηται καὶ ἀριστοτέλης καὶ ἐν ἀλεξανδρείᾳ δὲ τέλος τὸ βλακῶν νόμιον. ὃ οἱ ἀστρολόγοι τελοῦσι. διὰ τὸ τοὺς μώρους εἰσιέναι πρὸς αὐτούς.

Βοιώτιος νόμος.

ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων. αὖθις δὲ σφοδρῶς ἐπιγινομένων.

Βότρυς πρὸς βότρυν πεπαίνεται.

ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.

Βοῦς ἐπὶ γλώττης.

ὅ ἐστιν νόμισμα. ἁρμόζει δὲ ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα, ὑπὲρ τοῦ μὴ κατηγορῆσαι τινά, ἀλλὰ σιωπῆσαι.

Βοῦς ἕβδομος πέμματα κέρατα ἔχων.

κατὰ μίμησιν τῆς πρωτοφανοῦς σελήνης. ἐκάλουν δὲ αὐτὸ, βοῦν προστιθέντες καὶ τὸν ἕβδομον. ὅτι περὶ ἕξ τῆς σελήνης ἐπεθύετο οὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν ἀταλάντῃ. τάττεται δὲ ἐπὶ τῶν ἄγαν ἀναισθήτων. οἱ δὲ, φασὶν ἕβδομον βοῦν. ὅτι οἱ πένητες ἔθυον ἔμψυχα ἕξ. πρόβατον. ὗν. αἶγα. ὄρνιν. πετεινόν. χῆνα. καὶ ἕβδομον βοῦν.

Βοῦς ἐν αὐλίῳ κάθῃ.

ἐπὶ τῶν ἀχρήστων.

Βοιώτιος νοῦς.

ἐπὶ τῶν ἀπαιδεύτων. εἰς τοῦτο γὰρ ἐσκώπτοντο οἱ Βοιωτοί.

Βοιώτια αἰνίγματα.

ἐπὶ τῶν ἀσυνέτων. Βοιωτὴ γὰρ ἡ σφίγξ.

Βορβόρῳ ὕδωρ λαμπρὸν ὄν ποθ' εὑρήσεις.

ἐπὶ τῶν τὰ κάλλιστα μίγνυσθαι τοῖς αἰσχίστοις.

Βρασίδας μὲν ἀνὴρ ἀγαθός.

ἁ δὲ λακεδαίμων, πολλὰς ἔχει κάῤῥονας. ἐπὶ τῶν ἑαυτοὺς οἰομένων κρείσσους εἶναι τῶν ἄλλων.

Βώμαξ εἶ καὶ βωμολόχος.

οὗτος ἀπὸ τῶν βωμῶν πρὶν καρπωθῆναι, αἴρων. ἐπὶ τῶν μαλακιζομένων.

Γάλα ὀρνίθων.

ἐπὶ τῶν λίαν εὐδαιμονούντων, καὶ πάντα κεκτημένων. τὴν γοῦν σάμον οἱ θέλοντες ἐπαινεῖν καὶ τὴν ἄμασιν, τοῦτο ἔλεγον. ἄλλοι δὲ, ἐπὶ τῶν σπανίων.

Γαλῇ χιτὼν. αὕτη.

ἐπὶ τῶν ἀδίκως τάσσεσθαι, καὶ μηδὲν ἀνιόντων ὅμοια εἶναι, τῇ οὐ πρέπει γαλῇ κροκωτός.

Γαστέρα

Γαστέρα μοι προφέρεις.

κάλλιστον ὄνειδος ἁπάντων. ἡ πλήρης γὰρ, ἐλαφοτέρη. κενὴ δὲ βαρεῖα. ἐπὶ τῶν γαστρὶ μάργων.

Γασύπους κρεῶν ἐπιθυμεῖ.

ἐπὶ τῶν ἐπιθυμούντων τῶν ἀλλοτρίων.

Γελοιότερος μελιτίδου.

ἐπὶ τῶν ἐπὶ μωρίᾳ διαβεβοημένων. μελιτίδης γὰρ ἦν ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ.

Γέρων ἀλώπηξ οὐχ ἁλίσκεται.

ἐπὶ τῶν διὰ χρόνου πλῆθος οὐχ ἁμαρτανόντων.

Γεράνδρυον μεταφυτεύειν.

ἐπὶ τοῦ μὴ δεῖν τοὺς γέροντας ἐπὶ τὰ τῶν ἀκμαζόντων ἔργα προτρέπειν. γεράνδρυον γὰρ, τὸ γηράσκον φυτόν. δρῦς γὰρ, πᾶν φυτὸν γενικῷ ὀνόματι καλεῖται.

Γενναῖος εἶ ἐκβαλαντίου.

ἐπὶ τῶν διὰ τὸν πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

Γέρανοι λίθον καταπεπωκότος.

ἐπὶ τῶν προνοητικῶς τι ποιούντων. αἱ γὰρ

γράνοι πετόμενοι, λίθους φέρουσι.

Γέρων βοῦς ἀπήνθητος δ' ὅμοισιν.

ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων.

Γέρων πίθηκος, ἁλίσκεται μὲν, μετὰ χρόνον δ' ἁλίσκεται. ἐπὶ τῶν ἅπαξ δυστυχησάντων.

Γέλως ἰωνικός.

ἐπὶ τῶν ἐκλελυμένων. εἰς τοῦτο γὰρ οἱ Ἴωνες διαβάλλονται.

Γέροντα δ' ὀρθοῦν,

φλαῦρον ὃς νέος πέσοι.

Γηράσκω ἀεὶ πολλὰ διδασκόμενος.

ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.

Γῆς βάρος.

ἐπὶ τῶν ἀχρήστων.

Γηρᾷ βοῦς.

τὰ δ' ἔργα πολλὰ περὶ βοΐ.

Γιγάντων ἀπόνοια.

ἐπὶ τῶν ἀθέων καὶ ἀσεβῶν. παρόσον καὶ ἐκεῖνοι τοιοῦτοι.

Γλαύκου τέχνη.

ἐπὶ τῶν μὴ ῥαδίως κατεργαζομένων. ἢ ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων. ἐπειδὴ οὕτως εὗρεσι δήρου κόλλησιν.

Γλαῦκα

Γλαῦκα ἀθήναζε.

καὶ γλαῦκα ἀθηναίοις. ἐπὶ τῶν τοιαῦτα ἀλλαχόθεν ἐμπορευομένων, πρὸς τοὺς ἄφθονα ἔχοντας.

Γλαῦκος ἄλλος ἱππόβρωτος.

φασὶν ὅταν οὕτως κατεβρώθη ὑπὸ τῶν ἵππων. ἀγνοοῦντες, ὅτι ἱπποτροφῶν καὶ τῶν οἰκείων οὐδενὸς ἐπιμελούμενος, ἐπετρίβη. καὶ ἐπέλιπεν αὐτὸν ὁ βίος.

Γλαῦκος πιὼν μέλι, ἀνέστη.

ἐπὶ τῶν κηρυχθέντων ὅτι ἀπέθανον, εἶτα φανερουμένων. γλαύκου ἀποθανόντος τοῦ τοῦ σισύφου ἐπὶ τῷ μέλιτι, ὁ μίνως ἐν τῷ τύμβῳ κατώρυξε τὸν τοῦ κοιράνου Πολύειδον, ὃς ἦν ἐκ τοῦ ἄργους. ὃς ἰδὼν δράκοντα ἕτερον δράκοντι πόαν ἐπιθέντα τεθνεῶτι, καὶ ἀναστήσαντα αὐτὸν, καὶ οὗτος τὸ αὐτὸ ποιήσας εἰς τὸν γλαῦκον, ἀνέστησε. τοῦτο δὲ ἀδύνατον. ἐγένετο δὲ τοιόνδε. ἐπεὶ γλαῦκος πιὼν μέλι, ἐταράχθη. χολῆς δὲ πλείονος αὐτῷ κινηθείσης, ἐλειποθύμησεν ὁ γλαῦκος. ἀφικόντος δ᾽ οὖν οἵ τε ἄλλοι ἰατροὶ, ἅτε δὴ χρήματα ληψόμενοι. ἀλλὰ δὴ καὶ πολύειδος.

ἰδὼν τὴν πόαν, ἣν ἔμαθε παρά τινος ἰατροῦ, ᾧ ὄνομα ἦν Δράκων. καὶ ταύτῃ τῇ βοτάνῃ χρησάμενος, ὑγιᾶ ἐποίησε τὸν γλαῦκον. ἔλεγον οὖν τινὲς, ὅτι Πολύειδος τὸν γλαῦκον ὑπὸ μέλιτος θανόντα ἀνέστησεν. ἀφ᾽ ὧν τὸν μῦθον ἐπλάσαντο.

Γλαῦκος φαγὼν πόαν, οἰκεῖ ἐν θαλάττῃ.

ὁμοία τῇ προτέρᾳ. ᾄδεται ὅτι γλαῦκος ὁ θαλάττιος φαγὼν πόαν, ἀθάνατος ἐγένετο. καὶ νῦν ἐν θαλάττῃ οἰκεῖ. τὸ δὲ τῇ πόᾳ ταύτῃ μόνον γλαῦκον ἐντυχεῖν, καὶ λίαν ἐνίοις ἀσυνήθες. τὸ, τε ἄνθρωπον ἐν θαλάσσῃ, ἢ ἄλλό τι τῶν χερσαίων ζῆν. ἔχει δὲ τὸ ἀληθὲς οὕτως. γλαῦκος ἦν ἀνὴρ ἁλιεὺς ἀνθηδόνιος. ἦν δὲ κολυμβητής. ἐν τούτῳ ὑπερφέρων πάντων κολυμβητῶν. κολυμβῶντα δὲ ἐν τῷ λιμένι, ὁρώντων αὐτὸν τῶν πολιτῶν, αὐτὸς διακολυμβήσας εἴς τινα τόπον, καὶ μὴ ὀφθεὶς τοῖς οἰκείοις ἡμέρας ἱκανὰς. διακολυμβήσας πάλιν, ὤφθη αὐτοῖς. πυνθανομένων δὲ τῶν οἰκείων ποῦ διέτριβεν, αὐτὸς ψευδόμενος ἔφη, ἐν τῇ θαλάττῃ. καὶ συγκλείων εἰς αὐτὸν

αὐτὸν ἰχθύας, ὁπότε χειμὼν γένοιτο, καὶ μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιτο λαμβάνειν, ἔλεγε τοῖς πολίταις, τίνας βούλοιντο τῶν ἰχθύων ἀγρομισθῶσαι αὐτοῖς. καὶ κομίζων οὓς ἂν ἤθελον, γλαῦκος θαλάσσης ἐκλήθη. καὶ περιτυχὼν θηρίῳ θαλαττίῳ, ἀπώλετο. μὴ ἐλθόντος δὲ αὐτοῦ ἐκ τῆς θαλάττης, ἐμύθευσαν οἱ ἄνθρωποι, ὡς ἐν θαλάττῃ οἰκεῖ κακεῖ μένει.

Γλυκὺς ἀγκών.

οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν, ὦ γλυκεῖα ἤθη. ἔστι δὲ παροιμία ὡς ὑποφωνούμενον. οὕτως ἐχρήσατο πλάτων ὁ κωμικὸς ἐν τῷ φάωνι. γέρων δ' αὐτῷ ὑπόκειται ὄρθιον αὐλητρίδος. ὦ χρυσοῦν ἀνάθημα. ὦ γλυκὺς ἀγκών. ὡς εἴ τις εἴποι, ὦ γλυκὺς πῆχυς.

Γλυκὺς ἀπείρων πόλεμος.

ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς κινδύνους.

Γλυκεῖα ὀπώρα φύλακος ἐκλελοιπότος.

ἐπὶ τῶν ἄνευ μόχθου τὰ ἀλλότρια καρπουμένων.

Γλῶσσα ποῦ πορεύῃ; πόλιν ἀνορθώσασα καὶ πάλιν καταστρέψουσα.

ἐπὶ τῶν διὰ λόγων ἢ βλαπτόντων. ἢ ὠφελούντων.

Γλαὺξ ἵπταται.

ἡ νίκη· τῆς γλαυκὸς νίκης σύμβολον τοῖς ἀθηναίοις νομίζετο.

Γλαῦκα εἰς ἀθήνας.

ἐπὶ τῶν ὑποδεικνυμένων πρὸς τοὺς εἰδότας ἄπορ ἄμεινον αὐτοῦ ἴσασιν, ὅτι πολλοὶ εἰς ἀθήνας γλαῦκες.

Γνῶθι σαυτόν.

ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων.

Γόργειον βλέπει.

ἐπὶ τῶν ἀγρίως βλεπόντων.

Γοργόνα περσεὺς ἐχειρώσατο.

ἐπὶ τῶν πάνυ τι γενναῖον κατωρθωκότων. φασὶ τὸν Φόρκυνα τρεῖς ἐσχηκέναι θυγατέρας. αἵ τινες ἕνα ὀφθαλμὸν ἔχουσαι, ἀνὰ μέρος ἐχρῶντο. τούτῳ δὲ ἡ χρωμένη, ἐνετίθει αὐτὸν εἰς τὴν κεφαλήν. καὶ οὕτως ἔβλεπε. καὶ μιᾶς αὐτῶν τῇ ἑτέρᾳ ἀποδιδούσης τὸν ὀφθαλμόν, ἔβλεπον πᾶσαι. ἐλθὼν δ' ὁ περσεὺς ὀπίσω αὐτῶν ἐν

τῷ ἐν ἠρεμαίῳ βαδίσματι κρατήσας τὸν ὀφθαλμὸν, κατέχων τὸ ξίφος γεγυμνωμένον. φησὶ δεῖξαι αὐτῷ τὴν γοργόνα. ἐὰν δὲ μὴ φράσωσι, ἀποκτεῖναι αὐτάς. αἱ φοβούμεναι φράζουσι. ὁ δὲ ἀποτεμὼν τὴν κεφαλὴν τῆς γοργόνος, εἰς ἄρβα ἦλθε. καὶ δείξας ταύτην τῷ πολυδέκτῃ, λίθινον τοῦτον ἐποίησε. τοῦτο δὲ γελοῖον. τὸ, ἄνδρα ζῶντα, νεκροῦ κεφαλὴν ἰδόντα, ἀπολιθωθῆναι. τίς γὰρ δύναμις τοῦ νεκροῦ. ἐγένετο δὲ τοιοῦτό τι. φόρκυς ἦν ἀνὴρ κυρηναῖος. οἱ δὲ κυρηναῖοι, κατὰ γένος μέν εἰσιν αἰθίοπες. οἰκοῦσι δὲ νῆσον τὴν κέρνην. ἔξω οὖσαν τῶν ἡρακλείων στηλῶν. ἄρχουσι δὲ λιβύης περὶ τὸν ἄννωνα ποταμὸν κατὰ καρχηδόνα. εἰσὶ δὲ σφόδρα χρυσοῖ. ὁ φόρκυς ἐβασίλευε τῶν ἡρακλείων στηλῶν. εἰσὶ δὲ τρεῖς καὶ ποιεῖ τετράπηχυ ἄγαλμα ἀθηνᾶς, χρυσοῦν. καλοῦσι δὲ τὴν ἀθηνᾶν κυρηναῖοι, γοργόνην. ὥσπερ τὴν ἄρτεμιν θρᾷκες βένδιαν. κρῆτες δὲ δίκτυναν. λακεδαιμόνιοι δὲ, οὔπιν. ὁ μὲν οὖν φόρκυς ἀποθνήσκει πρὶν εἰς τὸ ἱερὸν ἀναθεῖναι τὸ ἄγαλμα. κατέλιπε δὲ

κόρας τρεῖς. Σθενώ. Εὐρυάλην. καὶ Μέδουσαν. αὗται γήμασθαι μὲν οὐδενὶ ἠβουλήθησαν. διελόμεναι δὲ τὴν οὐσίαν, ἑκάστη ἦρχε νήσου. τὴν δὲ γοργόνα, οὔτε ἀναθεῖναι τῷ ἱερῷ αὐταῖς ἐδόκει, οὔτε διελεῖν. ἀλλ' ἐν μέρει κατετίθεντο ἐναλλὰξ θησαυρὸν ἑαυταῖς. ἦν δὲ φόρκυι ἑταῖρος καλὸς καὶ ἀγαθός. καὶ αὐτῷ ἐν παντὶ πράγματι ἐχρῶντο ὥσπερ ὀφθαλμῷ. Περσεὺς δ' ἀνὴρ φυγὰς ἐξ ἄργους, ἐλῄζετο τὰ περὶ θάλατταν. ἔχων πλοῖα καὶ ἰσχὺν τινὰ περὶ αὐτοῦ. πυθόμενος δὲ ταύτην τὴν γοργόνα βασίλισσαν εἶναι γυναικῶν, καὶ πολύχρυσον μὲν, ὀλίγανδρον δὲ, πρῶτα μὲν ναυλοχεῖ ἐν πορθμῷ. καὶ μεταξὺ τῆς κυρήνης καὶ τῶν σαρδέων διαπλέων τὰ παρὰ τῆς ἑτέρας εἰς τὴν ἑτέραν, τὸν ὀφθαλμὸν λαμβάνει. ὧν μία φράζει αὐτῷ. ὅτι ἄλλο μὲν οὐδὲν ἔχει λαβεῖν παρ' αὐτῶν, εἰ μὴ τὴν γοργόνα. μηνύει δὲ αὐτῷ τὸ πλῆθος τοῦ χρυσοῦ. αὗται οὖν αἱ κόραι, ἐπεὶ οὐκ εἶχον τὸν ὀφθαλμὸν ἐν τῷ μέρει περὶ τὸ εἰρημένον, συνῄεσαν ὁμόσε. καὶ ᾐτιᾶτο ἑτέρα τὴν ἑτέραν. ὁπότε δὲ ἐπεγνοῦντο μὴ ἔχειν, ἐθαύμαζον, τί

ἂν εἴη

ἂν εἴη τὸ γεγονός. ἐν τούτῳ παραπλεῖ αὐ-
ταῖς ὁ περσεύς. καὶ φράζει ὡς αὐτὸς ἔχει ἕνα
ὀφθαλμόν. καὶ φησὶ μὴ ἀποδοῦναι αὐταῖς, ἐὰν
μὴ φράσωσιν ὅπη εἴη ἡ γοργών. ἐπηπείλει δὲ
καὶ προσκτενεῖν, εἰ μὴ εἴποιεν. ἡ μὲν οὖν μέ-
δουσα, οὐ φράζει δεῖξαι. ἡ δὲ σθενὼ καὶ εὐρυ
άλη, ἔδειξαν. τὴν μὲν οὖν μέδουσαν ἀποκ-
τείνει. ταῖς δὲ ἄλλαις τὸν ὀφθαλμὸν ἀποδί-
δωσι. λαβὼν δὲ τὴν γοργόνα, κατέκοψεν.
ἀπαιτήσας δὲ τριήρη, ἐπέθηκε τῆς γοργόνος
τὴν κεφαλὴν ἐπ᾽ αὐτήν. καὶ τῇ νηῒ δὲ ὄνομα
ἔθετο γοργών. ἐν ταύτῃ δὲ παραπλέων, χρή-
ματα παρὰ τῶν νησιωτῶν εἰσεπράττετο. καὶ
τοὺς μὴ διδόντας, ἀνῄρει. οὕτω δὴ καὶ τοὺς
σεριφίους ᾔτει παραπελάσας ἐκείνοις χρήμα-
τα. συναγαγόντων δὲ αὐτῶν, ὁ περσεὺς ᾔ-
τει πάλιν εἰς τὴν ἀγοράν. οἱ δὲ ἐκλιπόντες
τὴν σέριφον, ᾤχοντο. προσπλεύσας οὖν πά-
λιν ὁ περσεὺς ἐπὶ τὴν ἀπαίτησιν τῶν χρημά-
των, καὶ ἐλθὼν εἰς τὴν ἀγοράν, ἄνθρωπον
μὲν οὐδένα εὗρε. λίθους δὲ ἀνδρομήκεις. τοῖς
οὖν λοιποῖς τῶν νησιωτῶν ἔλεγεν ὁ περσεύς.
ἐπειδὰν μὴ παρεῖχον τὰ χρήματα, ὁρᾶτε μὴ
ὡς σέρι-

ὡς στέριφοι θεασάμενοι τὴν τῆς γοργόνος κεφαλὴν ἀπελιθώθησαν. ὅπερ πάθητε καὶ ὑμεῖς ὀνυχιμήνης ἔγγιον. ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων, καὶ τοὺς πλησίους τῶν μακράν.

Γραῶν ὕθλοι.

ἐπὶ τῶν μάτην ληρούντων.

Γρῦ τὸ δίωνος.

ἐπὶ τοῦ μικροῦ καὶ τυχόντος.

Γυμνότερος ἰαλέμου.

δηλοῖ τὸν θρῆνον. τάσσεται δὲ ἐπὶ τῶν οἰκτρῶν.

Γυμνοποδίαις χαίρει.

ἐπὶ τῶν φιλεόρτων. παῖδες ἐχόρευον ἐν σπάρτῃ τῆς λακωνικῆς εἰς θεοὺς ὕμνους ᾄδοντες. εἰς τιμὴν τῶν ἐν θυρέαις ἀποθανόντων σπαρτιατῶν.

Γυμνῇ τῇ κεφαλῇ.

ἐπὶ τῶν ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν.

Γύγαρθον φυσᾷς.

ἐπὶ τῶν μάτην πονούντων. σημαίνει δὲ τὸ δίκτυον.

Γύγου δακτύλιος.

ἐπὶ τῶν πολυμηχάνων.

Γυμνὸς ὡς ἐκ μήτρας.

ἐπὶ τῶν ἀπόρων.

Γυμνότερος πατάλου.

ἐπὶ τῶν σφόδρα ἀπόρων.

Γυναικὸς φρένας.

ἐπὶ τῶν ἀνοήτων.

Γυνὴ στρατηγεῖ, καὶ γυνὴ στρατοπεδεύεται.

ἐπὶ τῶν παραδόξων.

Γυναικὶ μὴ πίστευε, μὴ δ' ὅταν θάνῃ.

Δαιδάλου ποιήματα.

ἐπὶ τῶν ἀκριβούντων τὰς τέχνας. λέγεται γὰρ ὅτι μίνως δαίδαλον καὶ ἴκαρον καθεῖρξε, διά τινα αἰτίαν, ὑπ' αὐτοῦ ὄντας. δαίδαλος δὲ ποιήσας πτέρυγας προσθετάς, ἐξῆλθε μετὰ τοῦ ἰκάρου. νοῆσαι δὲ ἄνθρωποι τὸ γενόμενον, ἀμήχανον καὶ ταῦτα πτέρυγας ἔχοντα προσθετά. τὸ οὖν λεγόμενον ἦν τοιοῦτον. δαίδαλος ὢν ἐν εἱρκτῇ καθεὶς ἑαυτὸν διὰ θυρίδος, καὶ σκαφιδίῳ ἐμβὰς σὺν τῷ ἰκάρῳ, εἰς θάλασσαν ἔπλευσεν. αἰσθόμενος δ' ὁ μίνως, πέμπει πλοῖα διώξοντα. ὡς ᾔσθοντο δὲ ἴκαρός τε καὶ δαίδαλος διωκόμενοι, ἀνέμου λάβρου καὶ σφοδροῦ ὄντος, πετόμενοι ἤγουν πλέοντες, ἐν τῷ πελάγει περιτρέπονται. καὶ ὁ μὲν δαίδαλος σώζεται εἰς τὴν γῆν. ὁ δὲ ἴκαρος τελευτᾷ ἐν τῷ πελάγει, ὅθεν ἀπ' ἐκείνου ἰκάριον πέλαγος ἐκλήθη. ἐλθεὶς δ' ὁ

ἴκαρος ὑπὸ τῶν κυμάτων, παρὰ τοῦ πατρὸς ἐτάφη.

Δασύποδα λαγὼν παραδραμεῖται χελώνη.

ἐπὶ τοῦ ἀδυνάτου.

Δασύπους κρεῶν ἐπιθυμεῖ.

λέγεται ἐπὶ τῶν ἐπιθυμούντων παρ' ἄλλου γενέσθαι τὰ ὄντα αὐτῷ.

Δακτυλίῳ δεῖ σε ἑλκυσθῆναι.

ἐπὶ τῶν διὰ νόσον ἢ λύπην ἰσχνῶν γενομένων.

Δέδοται καὶ καπνοῖσιν ἄγρα.

ἐπὶ τῶν παρ' ἀξίαν εὐπραγούντων.

Δελφῖνα πρὸς τοὔραιον δεῖς.

ἐπὶ τοῦ ἀδυνάτου. διὰ τὸ εὐκίνητον εἶναι πρὸς τοὺς οὐ δυναμένους τηρεῖν τὰ διδόμενα.

Δεκάπους σκιὰ ὅσην.

ἐπὶ τῶν ἤδη καιρὸν ἀπιόντων ἐπὶ τὸ δεῖπνον. τὸ γὰρ παλαιὸν οἱ καλοῦντες ἐπὶ δεῖπνα καὶ οἱ καλούμενοι, προεσημαίνοντο τῇ σκιᾷ. καὶ οὕτως οἱ μὲν, ἔμμενον τοὺς κληθέντας. οἱ δὲ ἀπήεσαν ἐπὶ τὰς ἑστιάσεις. ἐφ' ἧς οἷόν τε ἦν τεκμήρασθαι εἰς πόσας ὥρας προσήκει.

Δειλότερος εἶ τοῦ παρακύπτοντος.

ἐπὶ τῶν σφόδρα δειλῶν. ἀνὴρ γὰρ οὗτος ἐγένετο δειλός, ὃς παρακύψας ἐκ σπηλαίου, καὶ ἰδὼν τὸν ἡρακλέα, ἀπελιθώθη καὶ διέμεινεν ἔτι καὶ νῦν ὁ λίθος ἀνθρωποειδής.

Δεινοὶ πλέκειν τοι μηχανὰς αἰγύπτιοι.

ἐπὶ τῶν σφόδρα κακουργοτάτων. τοιοῦτοι γὰρ οἱ αἰγύπτιοι.

Δελφῖνα νήχεσθαι διδάσκεις.

ἐπὶ τῶν ἐκείνων τινὰ παιδοτριβούντων, ἐν οἷς ἤσκηνται.

Δεσμοὶ τυρρηνοί.

οἷς ἐχρῶντο κατ' ἐκεῖνο καιροῦ εἰς τὰς τῶν δεσμωτῶν κακουχίας.

Δεύτερος πλοῦς.

ὅτε ἀποτυχών τις οὐρίου, κώπαις πλεῖ.

Δελφῖνα λεκάνη οὐ χωρεῖ.

Δηλίου κολυμβητοῦ.

ἐπὶ τῶν ἄκρως νηχομένων.

Δηρὸν βουλεύειν,

ἵν' ἔχῃ καὶ πολλῶν ἄμεινον.

Διὰ μαχαιρῶν καὶ πῦρ ῥίπτειν δεῖ.

ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκινδύνως ποιούντων.

Διαβολῆς ὀξύτερον ξίφος,

εἰ τὸ ξίφος προφθάσει τὸν διαβάλλοντα.

Διαγόρας ὁ μιλήσιος.

ἐπὶ τῶν ἀθέων καὶ ἀπίστων.

Διακωδωνισθέντος.

ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν διαπαιζομένων λαμβάνεται.

Διϊτρεφὴς ἀνεπίτρεπτος.

ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι πρᾶγμα.

Δικαιότερος σαχάνης.

ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων. σαχάνην γὰρ οἱ δωριεῖς τὴν τρυτάνην καλοῦσι. ἴσως παρὰ τὴν στάσιν.

Δίκης ὀφθαλμός.

ἧς δεῖ μηδέποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.

Δίκη δίκην ἔτικτε, καὶ βλάβη βλάβην.

ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις.

Διὸς κώδιον.

οὗ τὸ ἱερεῖον διὶ τέθυται. θύουσι δὲ, τῷ τε μειλι-

μειλιχίῳ καὶ τῷ κτησίῳ διί. τὰ δὲ κώδια τούτων φυλάσσουσι, διὰ προσαγορεύοντες. χρῶνται δ᾽ αὐτοῖς, ὅ, τε σκιροφορείων καὶ ὁ δᾳδοῦχος τὴν πομπὴν στέλλοντες ἐν ἐλευσῖνι. καὶ ἄλλοι τινὲς πρὸς τοὺς καθαρμούς. ὑποστρωννύντες αὐτὰ τοῖς ποσὶ τῶν ἐναγῶν.

Δίκην ὑφέξει κἂν ὄνος δάκῃ κύνα.

ἐπὶ τῶν ἐπὶ σμικρῶν σικοφαντουμένων.

Δικτύῳ ἄνεμον θηρᾷς.

ἐπὶ τῶν μάτην καὶ ἀνωφελῆ τι ποιούντων.

Διομήδειος ἀνάγκη.

ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχρῶς οὔσαις ταῖς θυγατράσιν αὐτοῦ μίγνυσθαι. ἃς καὶ ἵππους ἀλληγορεῖ. τάττεται δὲ ἐπὶ τῶν κατ᾽ ἀνάγκην τι πραττόντων.

Οἱ δὲ φασὶν ὅτι διομήδης καὶ ὀδυσσεὺς τὸ παλλάδιον κλέψαντες νυκτὸς ἐπανήεσαν. ἑπόμενος δὲ ὁ ὀδυσσεὺς, τὸν διομήδην ἠβουλήθη ἀποκτεῖναι. ἐν τῇ σελήνῃ δὲ ἰδὼν τὴν σκίαν τοῦ ξίφους ὁ διομήδης δείσας τὸν ὀδυσσέα, ἐποίησε προάγειν. παίων αὐτοῦ τῷ ξίφει τὸ μετάφρενον.

Διονυσία ἑορτὴ παρ᾽ ἀθηναίοις.

καὶ παροιμία δὲ αὐτοῦ. σχεδὸν τοιοῦτον, ὅτον ἐκ διονυσίων. ἐπὶ τῶν ἀπροσδοχῆς ἀξίων.

Διὸς κόρινθος.

ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων. ἐῤῥήθη δὲ δι' αἰτίαν τοιαύτην. μεγαρεῖς ὑπακούοντες κορινθίοις, ἐβαρύνοντο τοῖς ἐπιτάγμασι. καὶ φανεροὶ δυσαναχετοῦντες ἦσαν. ἐπεὶ τούτων κορινθίων δὲ πρέσβεις ἦλθον εἰς τὰ μέγαρα. καὶ τοῦ δήμου προσέχοντος αὐτοῖς, ἀγανακτοῦντες ἐβόων. οὐ καθέξεται ταῦτα ὁ διὸς κόρινθος. φασὶν οὖν τοὺς μεγαρεῖς ἐκβάλλοντας αὐτοὺς παίειν. καὶ λέγειν, παῖε τὸν διὸς κόρινθον.

Διὸς ἐγκέφαλος, τὸ κάλλιστον βρῶμα.

ἢ βασιλέως ἐγκέφαλος. ἐπὶ τῶν ἡδυπαθούντων.

Διὸς ψῆφος.

οὕτω καλεῖται ὁ τόπος, ἐν ᾧ ἀθηνᾶ καὶ ποσειδῶν ἐκρίθησαν. κρατῖνος ἀρχιλόχοις. ἔνθα διὸς μεγάλου θᾶκοι, πεσσοί τε καλοῦνται. τάττεται δὲ ἡ παροιμία, ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.

Δίσκος ὠθεῖ ὑπὲρ τὰ ἐσκαμμένα.

ἐπὶ

ἐπὶ τῶν προτερούντων ἐπὶ δύο τινῶν πραγμάτων ἐπαίνου ἀξίων. τὸ δ' ἓν τῶν εἰρημένων βέλτιον τοῦ ἑτέρου.

Δὶς ἑπτὰ πληγαῖς πολύπους πιλούμενος.

ἐπὶ τῶν κολάσεως ἀξίων. πρόσθεν ὁ πολύπους θηρευθεὶς, τύπτεται πολλάκις, πρὸς τὸ πῖον γενέσθαι.

Διωλύγιον κακόν.

ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφισταμένων.

Δὶς παῖδες οἱ γέροντες.

ἐπὶ τῶν πρὸς τὸ γῆρας συνηθεστάτων εἶναι δοκούντων.

Δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον.

ἐπὶ τῶν ἐκ δευτέρου τοῖς αὐτοῖς περιπιπτόντων.

Διὰ μέσου ὁ λιμὸς ἔῤῥει, καὶ καλλὶς ἀπόλλυται.

φθαρέντος γὰρ τοῦ λιμώττοντος, καὶ ὁ λιμὸς ἀπόλλυται.

Δορύκειον.

ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων.

Δούλων πόλις ἐν λιβύῃ.

Εὔφορος ἐν πέμπτῃ. καὶ ἑτέρα ἱστορεῖται. ἐν ᾗ εἷς ἐλεύθερός ἐστιν. ἔστι δὲ καὶ ἐν κρήτῃ δουλόπολις, ὡς Σωσίστρατος ἐν τῇ τῶν κρητικῶν. ἔστι δέ τις περὶ θρᾴκην πονηρόπολις. ἣν Φίλιππόν φασι συνοικίσαι τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας καὶ ψευδομάρτυρας. καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους. ὡς Θεόπομπος ἐν τρίτῃ τῶν φιλιππικῶν φησί.

Δύω τοίχους ἀλήφεις.

λέγεται ἐπὶ τῶν ἐπαμφοτεριζόντων, καὶ διὰ μέσου χωρούντων ἐν μάχαις ἢ φιλίαις. εἴρηται δὲ ἴσως, ἀπὸ τῶν δύω τοίχους εὐφεγγίας ποιούντων.

Δυεῖν ἐπιθυμήσας, οὐδετέρου ἔτυχες.

ἐπὶ τῶν ἄγαν πλεονεκτούντων οἳ διὰ πλεονεξίαν καὶ τὰ ἑαυτῶν ἐκβάλλουσι.

Δώδεκα μήχανος Κυρήνη. ἐπὶ τῶν παντοδαπῶν καὶ ποικίλων χρωμένων ἤθεσιν.

Δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας.

ἐπὶ τῶν δώροις πειθόντων καὶ δωροδόκων.

Δωδωναῖον χαλκεῖον.

ἐπὶ τῶν ἀκαταπαύστως καὶ πολλὰ λαλούντων. δή-

μων

μ̃ μὲν φησὶ ἐν τῇ δωδώνῃ πολλοὺς παραλλή-
λους κειμένων λέβητας, ὅταν τις ἑνὸς ἅψηται,
ἐκ διαδοχῆς πάντας ἠχεῖν. ἀριστοτέλης δὲ ὡς
πλάσμα διελέγχων, δύο φησὶ στύλους εἶναι. καὶ
ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα. ἐπὶ θατέρου δὲ παῖδα
κρατοῦντα μάστιγα. ἧς τοὺς ἱμάντας χαλκοῦς ὄν-
τας, σειομένους ὑπὸ ἀνέμου τῷ λέβητι προσ-
κρούειν. τὸν δὲ τυπτόμενον, ἠχεῖν.

Ἐγένετο καὶ μάνδρωνι συκίνη ναῦς.
Λέγεται ἐπὶ τῶν παρ' ἀξίαν εὐτυχησάν-
των. ὁ γὰρ μάνδρων παρὰ ἀθηναίοις ναύαρχος ᾑ-
ρέθη, ἀνάξιος ὢν τῆς ἀρχῆς. ἡ δὲ συκίνη ναῦς,
τὸ εὐτελὲς δηλοῖ.

Ἐγγαστρίμυθος καὶ πύθων σὺ τυγχάνεις.
ἐπὶ τῶν τερατολόγων καὶ θαυματοποιῶν σο-
φοκλῆς στερνόμαντιν τὸν τοιοῦτον φησί. πλάτων
ὁ φιλόσοφος, Εὐρυκλέα, ἀπὸ Εὐρυκλέους τινὸς τοῦ
μάντεως. ἀριστοφάνης σφιγξί. μιμησάμενος τὴν εὐ-
ρυκλέους μαντείαν καὶ διάνοιαν. φιλόχορος δ'
ἐν τρίτῃ περὶ μαντικῆς καὶ γυναῖκας ἐγγαστρι-
μύθους. Ἐγὼ δὲ καὶ σὺ ταυτὸν ἕλκομεν ζυγόν.
ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.
Ἐγγύην φεύγειν δὲ, θαλῆς μιλήσιος ηὔδα,

Ἐδίδαξά σε κυβιστᾶν, καὶ σὺ βυθίσαι με ζητεῖς.

ἐπὶ τῶν κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδόντων.

Εἰ καὶ λύκου ἐμνήσθης.

ἐπὶ τῶν ὧν ἂν μνησθῇ τις, καὶ εὐθὺς παραγινομένων.

Εἰ μὴ δύναιο βοῦν, ἔλαυνε ὄνον.

ἐπὶ τῶν μὴ πραττόντων ἃ κατὰ δύναμιν ἔχουσι, ἀλλὰ τὰ ὑπὲρ αὐτούς.

Εἰς ἀλλογνοῦντας ἀλλογνῶν ἐλήλυθα.

ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.

Εἰς οὐχ ὁσίαν τρυμαλιὰν τὸ κέντρον ὠθεῖς.

ἐπὶ τῶν ἀνόσια ποιούντων, τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην Σωτάδης εἶπε ταυτί.

Εἷς ἀνὴρ οὐ πάνθ' ὁρᾷ.

Εἰς ὕδωρ γράφεις τ' ἔρωτα.

ἐπὶ τῶν ἀφανιζόντων τινὰ χρηστά.

Εἰς οὐρανὸν πτύεις.

ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων. ἢ ἐπὶ τῶν ὑβριζόντων εἰς ἐξαίρετα. ἔστι δὲ ὁμοία τῇ πρὸς κέντρα λακτίζεις.

Εἰ μὴ

Εἰ μὲν θεός ἐστιν, οὐ φοβούμεθα.

οὐδὲν γὰρ ἀδικοῦμεν. εἰ δ᾽ ἄνθρωπος, οὐχ ἡμῶν γε κρείσσων. εἴρηται πρὸς τοὺς φοβοῦντας.

Εἱλώτων ἀτιμότερος.

παρὰ λακεδαιμονίων οἱ νόθοι καὶ οἱ δὲ αἰχμαλώτων δοῦλοι γενόμενοι, εἵλωτες ἐκαλοῦντο. ἀπὸ τοῦ ἕλους. ἕλος δὲ πόλις ἐν πελοποννήσῳ.

Εἰς ἀρχαίας φάτνας.

ἐπὶ τῶν ἀπολαύσεως τινος ἐκπεσόντων, εἶτα πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐλθόντων δίαιταν.

Εἰ μετρήσεις τὴν σαυτοῦ σκιὰν,

οὐκ ἂν εὕροις αὐτὴν μείζονα γεγενημένην, ἢ πρὶν νικᾶν. ἐπὶ τῶν ἡττωμένων, καὶ αὖθις ἐπαπειλούντων. Φιλίππου γὰρ μετὰ τὴν ἐν χορονείᾳ μάχην σκληροτέραν ἐπιστολὴν πρὸς ἀρχιδάμῳ γράψαντος, ἀντέγραψε τὸ προοιμιῶδες τοῦτο λόγιον.

Εἰς θεῶν ὦτα ἦλθεν.

ἐπὶ τῶν οὐ λανθανόντων ὑφ᾽ οἷς ἔπραξαν.

Εἰς κόλπον πτύω.

τοῦτο ἐν ἴσῳ πρὸς μεγαλορρημονῶ διαλαβούμενον.

Εἰς κόρακας.

εἰς σκότος. εἰς ὄλεθρον.

Εἰς κυνόσαργες.

εἴρηται ἐπὶ ὕβρει καὶ ἀραῖς. ἔστι δὲ τόπος ἐν τῇ ἀττικῇ. ἐν ᾧ τοὺς πόδας ἔταττον. ὠνόμασται δὲ ὅτι ἀπὸ κυνὸς ἀργοῦ. τουτέστι λευκοῦ ἢ τάχεος.

Εἰς λατομίαν.

Φιλόξενος ὁ διθυραμβοποιὸς οὐκ ἀνεχόμενος τῶν Διονυσίου τοῦ τυράννου ποιημάτων ὡς φαύλων, ποτὲ πέμψαντος αὐτὸν εἰς λατομίαν τοῦ Διονυσίου, τὸ δὲ ὕστερον αὐτὸς ἑκὼν ἐξανέστη. τοῦ δὲ, ἐρομένου τὴν αἰτίαν. εἶπεν, ὡς κρεῖττον εἴη τὴν ἐκεῖ διατριβὴν, ἢ τῶν αὐτοῦ ποιημάτων ἀνέχεσθαι.

Εἰς μασαλίας πλεύσειαν.

ἐπὶ τῶν θηλυτέρων καὶ μαλακιζόντων καὶ ποικίλαις στολαῖς χρωμένων καὶ μύροις.

Εἰς μελίττας ἐκόμισας.

ἐπὶ τῶν παρὰ δόξαν κακουμένων ἀθρόων.

Εἰς οὐρανὸν τοξεύεις.

ἐπὶ τῶν ἀδυνάτων

Εἰς πῦρ ξαίνειν.

ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραττόντων ἢ λεγόντων

Εἰς τέφραν γράφειν ἐπὶ τῶν ἀδυνάτων.

Εἰς τὸ

Εἰς τὸ δέον καὶ οὗ τὸ δέον ἀπώλεσα.

Περικλῆς δῶρα δοὺς τοῖς πολεμίοις τοῖς περὶ κλεανδρίαν, ἵνα μὴ δῃώσωσι τὴν χώραν δεκαπέντε τάλαντα, ἀνήνεγκε τὸ ἀνάλωμα τοῖς ἀθηναίοις, οὕτω πως ἀπογράψας· εἰς τὸ δέον ἀπώλεσα.

Εἰς ἄρειον πάγον ἐκλήθη.

ἐπὶ τῶν ἄγαν δικαίων τυχόντων δικαστῶν. δικαστήριον ἦν ἐν ἀθήναις. ἦσαν δὲ ἀθήνησι δύο βουλαί. ἡ μὲν τῶν πεντακοσίων, καθ' ἕκαστον ἐνιαυτὸν κληρουμένη βουλεύειν. ἡ δὲ, εἰς μίαν τῶν ἀρεοπαγιτῶν. ἐδίκαζε δὲ τὰ φονικὰ. καὶ τὰ ἄλλα πολιτικὰ διώκει σεμνῶς. ἐκλήθη δὲ ἄρειος πάγος, ἤτοι ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον, ἄρειος δὲ ἐπεὶ τὰ φονικὰ δικάζει. ὁ δὲ ἄρης ἐστὶ τῶν φόνων, ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ, ἐν τῇ πρὸς ποσειδῶνα ὑπὲρ ἁλιρροθίου δίκῃ, ὅτι ἀπέκτεινεν αὐτόν.

Εἰ τυρὸν εἶχον, οὐκ ἂν ἐδεόμην ὄψου.

ἐπὶ τῶν ὀλίγοις ἀρκουμένων καὶ ἐγκρατῶν.

Εἰ μὴ σὺ λέγεις, ἀλλὰ τοῦ δέρματος φαίνη.

ὅτι σοῦ ψευδομένους αἱ πράξεις ἐλέγχουσιν.

Εἰς τετρημένον πίθον ἀντλεῖς.

τάσσεται ἐπὶ τῶν εἰς κενὸν ποιούντων. καὶ γὰρ μυθολογοῦσιν ἐν ἅδου τοὺς ἀσεβεῖς εἰς πίθον τετρημένον ἀντλεῖν. πάσχουσι δὲ τοῦτο τοῦτον, αἱ τῶν ἀμυήτων ψυχαί. καὶ κόραι δὲ αἱ πεδηναὶ καὶ δαναΐδες καλοῦνται, ἀντλοῦσαι ὕδωρ εἰς τὸν πίθον.

Εἰς ὕδωρ γράφειν.

ἐπὶ τῶν ἀπράκτων καὶ ὧν οὐκ ἔστιν φροντὶς, καὶ ἀπίστων.

Εἰς τροφωνίου μεμάντευται.

ἐπὶ τῶν σκυθρωπῶν καὶ ἀγελάστων. οἱ γὰρ καταβαίνοντες εἰς τροφωνίου λέγονται τὸν ἑξῆς χρόνον ἀγέλαστοι εἶναι. ὁ δὲ τροφώνιος ἔχων τὴν κεφαλὴν τοῦ ἀδελφοῦ αὐτοῦ ἀγαμήδους. καὶ διωκόμενος ὑπὸ τοῦ αὐγαίου, δεξάμενος τὸ χάσμα ἐνέπεσεν. οὗ δὴ καὶ μαντεῖον ἐστί.

Εἰς πάγας ὁ λύκος.

ἐπὶ τῶν ἁρπαζόντων μὲν καταληφθέντων δέ.

Εἰς τροιζῆνα βαδίζεις.

ἐπὶ τῶν ἐχόντων σπάνιν χρειῶν. πάντων γὰρ ἐστὶ λιμὴν τροιζήνιος.

Εἴληφεν ἡ παγὶς τὸν μῦν.

ἐπὶ τῶν ἀξίων ἑαλωκότων.

Εἰς ὦτα θεοῦ ἦλθεν.

ἐπὶ μεγάλων πραγμάτων.

Ἐκδεδαρμένον δέρεις.

ἐπὶ τῶν μάτην πονούντων.

Ἐκ δυοῖν τρία βλέπεις.

ἐπὶ τῶν διὰ γῆρας ἢ ἄλλο τι πάθος οὐκ ὀξυδορκούντων, οὐδὲ εἰλικρινεῖς ἐχόντων τὰς αἰσθήσεις.

Ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα δείκνυται.

ἐπὶ τῶν ἀπὸ μέρους καταλαμβανόντων τὸ ὅλον.

Ἐκ τῶν ὀνύχων τὸν λέοντα.

ὁμοία τῇ προειρημένῃ.

Ἐκκέκοφθ' ἡ μουσική.

φασὶν ὅτι τῶν παλαιῶν ἐν τοῖς συμποσίοις φιλολόγῳ ζητήσει χρωμένων, καὶ ὕστερον τὰς μουσουργοὺς καὶ κιθαριστρίας καὶ ὀρχηστρίας ἐπεισήγαγον. ὅθεν καὶ τὴν καινοτομίαν τινὲς αἰτιώμενοι, τῇ παροιμίᾳ ἐχρῶντο.

Ἐκ παντὸς ξύλου εἰπὲ τὸ πλῆρες.

ὅτι ἐκ παντὸς ξύλου κύφων ἂν γένοιτο. λέγεται δὲ ἐπὶ τῶν μὴ εἰς εἶδος συντελῶν.

εἰς δὲ χρείας ἀναγκαίων.

Ἐκπορδικίσαι.

τὸ διολισθῆναι καὶ ἀποδρᾶναι. μεταφορικῶς ἀπὸ τῶν πορδίκων. πανοῦργον γὰρ τὸ ζῶον καὶ διαδιδράσκον τοὺς θηρεύοντας. λέγεται δὲ ἐπὶ τῶν διαδιδρασκόντων.

Ἕκαστος αὑτοῦ τὸ βδέλυμα,
μήλου γλύκιον ἡγεῖται.

Ἐκ λύκου στόματος.

ἐπὶ τῶν ἀνελπίστων λαμβανόντων.

Ἐκ τριχὸς κρέμαται.

ἐπὶ τῶν σφόδρα κινδυνευόντων. ὅμοιον τῷ ἐπὶ ξυροῦ.

Ἐλεύθεραι αἶγες ἀρότρων.

ἐπὶ τῶν βάρους τινὸς ἢ κακῶν ἀπηλλαγμένων.

Ἐλευθεριώτερος σπάρτης.

διὰ τὸ ἀνυπότακτον καὶ γυναῖον φρόνημα διὸ οὐ ταχὺ περιεβάλλοντο, νόμοις παιδευόμενοι. ἀλλ' οὐδὲ ἠθέλησαν ἐκ μάχης ἡττημένοι ὑποστρέψαι, οὐδὲ ἐτυραννήθησαν.

Ἐλέφαντος οὐδὲν διαφέρεις.

ἐπὶ τῶν ἀναισθήτων. παρ' ὅσον ἐστὶ τὸ ζῶον τοιοῦτον.

Ἐλέφαντα ἐκ μυίας ποιεῖς.

ἐπὶ τῶν τὰ ἐλάχιστα ἐπαιρόντων τῷ λόγῳ καὶ μεγάλα ποιούντων.

Ἕλκων ἐφ' ἑαυτὸν ὥσπερ ὁ καικίας νέφος.

ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς κακά.

Ἔλαχες τὸ μ.

ἐπὶ τῶν δυστυχησάντων. Διονύσιος γὰρ ὁ πρεσβύτερος, κληρουμένων κατὰ γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ μ΄. πρὸς τὸν εἰπόντα μωρολογεῖς Διονύσιε. μοναρχήσω μὲν οὖν εἶπε καὶ δημηγορήσας, ᾑρέθη στρατηγὸς εὐθὺς ὑπὸ τῶν συρακουσίων.

Ἐλέφας μυῶν οὐκ ἀλεγίζει.

ἐπὶ τῶν τὰ μικρὰ καὶ φαῦλα ὑπερορώντων.

Ἔμβαρός εἰμι. ἦν πρὸ τόβρων ὁ ἱερεὺς νῆσος. ὅθεν καὶ τοὔνομα εἴληφεν ἀπὸ τοῦ διαπρεῖν. οὗτος τὰ ἄκρα μούνιχος κατασχὼν, μουνιχίας ἀρτέμιδος ἱερὸν ἱδρύσατο. ἄρκτου δὲ γενομένης ἐν αὐτῷ καὶ ὑπὸ τῶν ἀθηναίων ἀναιρεθείσης, λιμὸς ἐπεγένετο. οὗ τὴν ἀπαλλαγὴν ὁ θεὸς ἔχρησεν, ἄν τις τὴν θυγατέρα θύσῃ τῷ θεῷ. Βάρος δὲ μόνος ὑποσχόμενος, ἐπὶ τῷ τὴν ἱερωσύνην αὐτοῦ τὸ γένος διὰ βίου ἔχειν, διακοσμήσας αὐτοῦ τὴν θυγατέρα, ἔθυσεν.

ὅθεν ὁ εἰς προοιμίαν πορίζεται· τάττεται δὲ ἐπὶ τῶν παραπαιόντων καὶ μεμηνότων.

Ἐμποδὼν ὄψιν τὸ πρᾶγμα.

ἐπὶ τῶν προχείρων καὶ συνήθων. ἐχρήσατο δὲ ταύτῃ τῇ λέξει Θουκυδίδης ἐν ὀγδόῃ. τὰς ἐμποδὼν αἰτίας ἐπισκοπεῖν, πορρωτέρω ἢ μηδὲν ἀπαρέγεσθαι ταῖς διανοίαις. ἤτοι προχείρως. Λυκοῦργος δὲ ἐν τῷ κατὰ Λυκόφρονος, ἀντὶ τοῦ φανεροῦ. Πλάτων δὲ, ἀντὶ τοῦ ἐν μέσῳ. Ἰσαῖος δὲ ἀντὶ τοῦ ἐγγύου καὶ ἐν χερσί. φησὶ γοῦν ἐν τῷ ὑπὲρ Εὐμαθοῦς εἰς ἐλευθερίαν ἀφαιρέσει. ἀλλὰ τὸ προΐζον ὦ ἄνδρες Ἀθηναῖοι. πολὺ γὰρ παντελῶς ἐμποδὼν εἶναι. ἐχρήσατο δὲ Ἱεροκλῆς ἀντὶ τοῦ ἐμποδίου. καὶ ἄλλοι. φησὶ γοῦν ἐν δευτέρᾳ φιλοσοφουμένων παρὰ τῶν φιλοσόφων, ἐν γὰρ αὐτῆς οὐχὶ καὶ ἔγημε ὁ παῖδας ἀνείλετο, καὶ οὐσίας ἐπεμελήθη, μηδενὸς ἐμποδὼν ὄντος.

Ἐμπεδοκλέους ἔχθρα.

ἐπὶ τῶν δυσοργήτων.

Ἐμὲ μὲν ἂν μανῶσι.

σὲ δὲ ἂν σωφρονῶσι. λείπει τὸ ἀρκτέον

σι. ἤτοι

σι. ἤτοι ἐμὲ μὲν, ἀδίκως, σὲ δὲ δικαίως.

Ἔμπροσθεν κρημνὸς, ὄπισθεν λύκοι.

Ἐπὶ τῶν ἐν μέσῳ δύο κακῶν ἀφύκτων περιπεσόντων.

Ἐν δὲ διχοστασίῃ, καὶ ἀνδροκλῆς πολεμαρχεῖ.

Ἐπὶ τῶν εὐτελῶν, τῶν διὰ περιπέτειαν τινὰ τιμῆς ἀξιουμένων. τοιαύτη δέ ἐστι καὶ ἡ λέγουσα, ἐν γὰρ ἀμηχανίῃ καὶ καρκῖνος ἔμμορε τιμῆς. Ἐπεὶ ἐν ἀμούσοις καὶ κόροικος φθέγγεται.

Ἔνεστι καὶ μύρμηκι χολή.

Παρεγγυᾷ, μὴ δὲ τῶν μικρῶν καταφρονεῖν ἐν τῷ ἀμφισβητεῖν.

Ἐν θέρει τὴν χλαῖναν κατατρίβεις.

Ἐπὶ τῶν μὴ καθ' ὥραν τοῖς ἀναγκαίοις χρωμένων.

Ἑνὸς χανόντος,
μετέχηκεν ἅτερος. αὐτοδίδακτος.

Ἔνθ' οὔτε μίμνειν ἀνέμους, οὔτ' ἐκπλεῖν ἐᾷ.

Ἐπὶ τῶν δυσχερέσι περιπεσόντων τοῦτο λέγεται. φησὶ δὲ αὐτὸ παρ' αἰσχύλῳ ὁ Φιλοκτήτης.

Ἐν Καρὶ τὸν κίνδυνον.

ἐπὶ τῶν ἐν ἀλλοτρίοις κινδυνευόντων.

Ἐν Σπάρτῃ μόνῃ λυσιτελεῖ γηράσκειν.

παρόσον οἱ Λακεδαιμόνιοι μεγάλως ἐτίμων τοὺς γέροντας.

Ἐν πίθῳ τὴν κεραμείαν μανθάνειν.

ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων. ἁπτομένων δὲ τῶν μειζόνων ἢ τῶν τελευταίων.

Ἐν τῷ μέρει τις καὶ τὸ πῦρ σκαλευσάτω

ἐπὶ τῶν εἰς κοινὸν μὴ τὰ ἴσα παρεχομένων.

Ἐν Παλλαδίῳ ἐκρίθη.

δικαστήριον ἐν Ἀθήναις. ἐν ᾧ οἱ ἐφέται φόνου ἀκουσίου ἐδίκαζον. ἀργεῖοι γὰρ ἀπὸ Ἰλίου πλέοντες, ἡνίκα προσέσχον Φαλήροις, ὑπὸ Ἀθηναίων ἀγνοούμενοι, ἀνῃρέθησαν. ὕστερον δὲ Ἀκάμαντος γνωρίσαντος, καὶ τοῦ Παλλαδίου εὑρεθέντος κατὰ χρησμόν, αὐτόθι τὸ δικαστήριον ἀπέδειξαν, ὡς Φανόδημος. Κλειτόδημος δέ φησι, Ἀγαμέμνονος σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήνησι, Δημοφῶντα ἁρπάσαι, καὶ πολλοὺς τῶν διωκόντων ἀνελεῖν.

λεῖν. τοῦ δὲ ἀγαμέμνονος δυσχεραίνοντος, κρίσιν ὑπέσχειν, ὑπὸ ὀκτὼ ἀθηναίων καὶ ὀκτὼ ἀργείων, οὓς ἐφέτας κληθῆναι. ὅτι ἔφεσις παρ' αὐτῶν οὐ δύναται εἰς δικαστήριον ἄλλο γενέσθαι. ἢ ὅτι ἀληθεῖ αἵματι ἐδίκαζον. ἢ διὰ τὸ παρ' ἀμφοτέρων ἀργείων καὶ ἀθηναίων, ἀφεθῆναι αὖθις παρὰ τῆς κρίσεως.

Ἐν τριόδῳ εἰμί.

ἐπὶ τῶν ἀδήλων πραγμάτων. ἐπεὶ ὁ ἐν τριόδῳ γενόμενος, οὐκ οἶδε ποίᾳ χρήσεται ὁδῷ.

Ἐν ψύλλας δήξει θεὸν ἐπικαλεῖται.

ὅτι οὐ δεῖ ἐπ' ἐλαχίστων τοῦ θείου δεῖσθαι, καὶ τὸ ὄνομα αὐτοῦ ἐπικαλεῖσθαι.

Ἐν φρέατι κυνομαχεῖν.

ἐπὶ τῶν ἐκφυγεῖν οὐκ ἐχόντων, καὶ μοχθηρῷ τινι προσπαλαιόντων.

Ἐνδυμίωνος ὕπνον καθεύδεις.

ἐπὶ τῶν διὰ ἔργα ὑπνηλῶν. ἐπειδὴ ὁ ὕπνος ἐραστὴς μειρακίου ἐνδυμίωνος, ἔτι καὶ νῦν κατέχειν αὐτὸν λέγεται κοιμώμενον.

Ἐν ἕλῳ δρασκάζεις ἤτοι κρύπτῃ.

ἐπὶ τῶν μὴ δυναμένων λαθεῖν.

Ἐν σκότει ὀρχεῖσθαι.

ἐπὶ τῶν ἀμαρτύρως μοχθούντων.

Ἐν νυκτὶ βουλή.

ἐπειδὴ ἡ νὺξ παρρησίαν δίδωσι βουλεύεσθαι.

Ἐξ ἑνὸς πάνθ' ὁρᾶν.

ἐπὶ τῶν προορώντων.

Ἐξ ἄμμου σχοινίον πλέκεις.]

ἐπὶ τῶν ἀδυνάτων.

Ἐξ ἴσου δίδου πᾶσιν.

ἐπὶ τῶν ὀρθῶς διανεμόντων καὶ δικαίως κρινόντων.

Ἐξὸν φυγεῖν, μὴ ζήτει δίκην.

Ἀλκιβιάδης καλούμενος ἐπὶ κρίσιν ὑπὸ Ἀθηναίων ἀπὸ Σικελίας, ἔκρυψεν ἑαυτὸν εἰπὼν τοῦτο, εἰπόντος δέ τινος, οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σεαυτοῦ κρίσιν, ἐγὼ μὲν ἔφη, οὐδὲ τῇ μητρί. μήπως ἀγνοήσασα, τὴν μέλαιναν βάλῃ ψῆφον ἀντὶ τῆς λευκῆς.

Ἐξηκεστίδης.

ἐπὶ τῶν ὁδοῦ ἀποπλανηθέντων. τοῦτον γὰρ ὡς ξένον διαβάλλουσι καὶ πλάνον. οἱ δὲ ξένοι μᾶλλον ἴσασι τὰς ὁδούς. διαπορήσαντες οὖν τῆς ὁδοῦ οἱ ἀποπλανηθέντες, εἶπον.

οὐδ' ἂν ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν. λέγεται οὖν ἐπὶ τῶν ἀμηχάνων.

Ἐξ ὀνύχων λέοντα γνῶσεσι μαθεῖν,
καὶ ἐκ μικρᾶς γεύσεως πηγήν. ἐπὶ τῶν ἐκ μικροῦ τινὸς μανθανόντων τὸ πᾶν.

Ἔξω γλαῦκε.
χειμῶνα γὰρ σημαίνει ὁ θαλάσσιος.

Ἔοικα βοῦς
ἐπὶ σφαγὴν μολεῖν.

Ἐπειδὴ τὸν ταντάλου λίθον τῆς κεφαλῆς περιναξάμεθα.

λέγεται ἐπὶ κινδύνου τινὸς ἐπηρτημένου καὶ παρελθόντος, ὁ δὲ τάνταλος υἱὸς ἦν τοῦ διὸς οὗτος ἠξιώθη τῆς τραπέζης τῶν θεῶν. καὶ ἀξιωθεὶς, ἐδημοσίευσε τὰ μυστήρια αὐτῶν. καὶ κολάζεται κόλασιν δεινήν, τοιαύτη δέ, ἐστιν ἐν τοῖς ὑπὸ γῆν δικαιωτηρίοις ἔχων πέτραν ἐπάνω αὐτοῦ, καὶ κάτω, ὕδωρ πολὺ, καὶ βλαστήματα καρποφόρα. καὶ ἤρτηται ὁ λίθος κατ' αὐτοῦ. ἐὰν οὖν θέλῃ πιεῖν ἐκ τοῦ προκειμένου ὕδατος, πίπτει ἡ πέτρα ἐπάνω αὐτοῦ καὶ τιμωρεῖται ἐκ τούτου. ὅτι λιμῷ καὶ δίψει τήκεται. ὁρῶν μὲν ἀφ' ὧν δεῖ φαγεῖν καὶ πιεῖν

μὴ δυνάμενος δὲ διὰ τὴν ἀπηρτημένην πέτραν.

Ἐπαύλια δῶρα φέρων ἥκεις.

ἐπὶ τῶν πολλὰ δωρουμένων. ἐπαύλια δὲ καλεῖται, τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τῶν γάμων, παρὰ τοῦ τῆς νύμφης πατρὸς δῶρα φερόμενα τοῖς νυμφίοις καὶ τῇ νύμφῃ, ἐν πομπῆς σχήματι. παῖς γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων καὶ λαμπάδα καιομένην. ἔπειτα μετὰ τοῦτον, κανηφόρος. εἶθ' αἱ λοιπαὶ ἀκολουθοῦσι ἐφεξῆς, φέρουσαι. χρυσία. λεκάνιδας σμήγματα. φορεῖα. κτένας. κοῖτα, ἀλαβάστρους. σανδάλια. μυράλιτρα. ἐνίοτε δὲ καὶ τὴν προῖκα ἅμα τῶν νυμφίων φέρουσι.

Ἐπὶ τοῖς ὅπλοις ἀκκίζεται.

ἐπὶ τῶν ἐπαιρομένων τοῖς ὕβρεσι τοῖς ἀ- ἀκκισμοῖς. ἀπὸ Ἀκκοῦς τινὸς σαμίας μωρᾶς οὔσης.

Ἐπειοῦ δειλότερος.

οὕτως ἔλεγε Κρατῖνος ὁ κωμικός. ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηΐδος φυλῆς, καὶ δειλότερος φανῆναι. καὶ γὰρ ὁ Ἐπειὸς δειλὸς ἦν.

Ἐπὶ

Ἐπὶ πυγὴν βρέχει. ἤτοι εἰς τοὐπίσω.

Ἐπὶ καλάμης ἀροῖ.

ἐπὶ τῶν εὖ καὶ καλῶς γεωργούντων.

Ἐπιμενίδειον δέρμα.

ἐπὶ τῶν ἀποθέτων. οὗτος γὰρ ὁ ἐπιμενίδης ἐβίωσεν ἑκατὸν πεντήκοντα ἔτη. τὰ δὲ ἓξ ἐκάθευδε.

Ἐπὶ βύρσης ἐκάθητο.

ἐπὶ τῶν δεομένων συμμαχίας. τοῦτο δὲ παρὰ σκύθαις ἐτελεῖτο, ἐπειδάν τις ἠδικεῖτο πρὸς ἑτέρου, ἀμύνασθαι δὲ βουλόμενος, ἑαυτὸν οὐκ ἀξιόμαχον μόνον ὄντα. βοῦν οὖν ἱερεύσας, τὰ μὲν κρέα κατακόψας ἧψε. αὐτὸς δὲ ἐκπετάσας χαμαὶ τὴν βύρσαν, ἐκάθητο ἐπ' αὐτῆς, εἰς τοὐπίσω παραγαγὼν τὼ χεῖρε. καὶ τοῦτό ἐστι σκύθαις ἡ μεγίστη ἱκετηρία. τῶν δὲ κρεῶν τοῦ βοὸς ὁ βουλόμενος μοῖραν λαμβάνων καὶ ἐπιβαίνων τῇ βύρσῃ τὸν δεξιὸν πόδα, ὑπισχνεῖτο κατὰ δύναμιν ἕκαστος συμμαχήσειν. καὶ ἔστιν αὐτοῖς τοῦτο, ὅρκων ὁ βεβαιότατος.

Ἔπηλυς τὸν ἔνοικον.

λείπει τὸ ἐξέβαλλεν.

Ἐπὶ ὅλμου ἐκοιμήσω.

ἐπὶ τῶν μαντείας ποριζομένων ἐκ τινων τῶν ὑπνίων. τὸν ὅλμον γὰρ συμβάλλεσθαι ἔλεγον πρὸς μαντείας.

Ἐπὶ μανδραβόλου χωρεῖ τὸ πρᾶγμα. ἀντὶ τοῦ ἐπὶ τὸ χεῖρον. μανδραβόλας γὰρ διὰ τὰς αὐτὰς θυσίας ὅρκοις ἑαυτὸν καταδήσας τοῖς θεοῖς κατ᾽ ἔτος προσάγειν, τὸ μὲν πρῶτον δέκα βοῦς ἔθυσε. τὸ δὲ δεύτερον, παρ᾽ ἕνα ἤτοι ἐννέα. τοῦ δὲ ἐλθόντος καὶ τοῦ τρίτου, ἀφεῖλεν ἕτερον. καὶ οὕτω ποιῶν, διὰ τῶν ἑξῆς ἐνιαυτῶν, κατέστη εἰς ἐπιορκίαν. ὁ δὲ ἔφορος, οὕτως. ὁ μανδροβόλας ἐν σάμῳ γεωφάνιον εὑρὼν, πρῶτον μὲν, κριὸν χρυσοῦν ἀνέθηκεν, ἔπειτα ἀργυροῦν. ἔπειτα χαλκοῦν ἐλάττονα. εἶτα οὐκέτι.

Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις.

ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων. αἱ γὰρ τὴν σελήνην καθέλκουσαι θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν στερίσκεσθαι.

Ἐπὶ σπείρᾳ χοινίου.

ἐπὶ τῶν δωρουμένων τισὶν οὐχ ἕτερα, ἀλλ᾽ οἷς

κέκληται ὅμοια. σπεῖρα γὰρ τὸ χοινίον τὸ αὐτό.

Ἑρμώνιος χάρις,

ἡ κατ᾽ ἀνάγκην διδομένη.

Ἐρήμη δίκη.

ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος, ὑπὸ τῆς κρίσιν διαιτηθῇ.

Ἐρήμην ἁλῶναι.

ὅταν μὴ παρόντος τοῦ εὐθυνομένου, καταδικασθῇ ὁ διωκόμενος.

Ἐς κόρακας.

Βοιωτοῖς ὁ θεὸς ἔχρησεν, ὅπου ἂν λευκοὶ κόρακες φανῶσιν, ἐκεῖ κατοικεῖν. περὶ δὲ τὸν παγασητικὸν κόλπον ὑπὸ παίδων ἀκάκων γυψωθέντας κόρακας, ὕστερον δὲ αἰολεῖς ἐκβαλόντες αὐτοὺς, τοὺς φυγαδευομένους εἰς αὐτὸ ἔπεμπον. οἱ δὲ, ὡς τοῦ ζώου ἀναιδοῦς καὶ δυσοιωνιστικοῦ ὄντος. ἀριστοτέλης δὲ φησὶ, λοιμοῦ κατασχόντος, καὶ κοράκων πολλῶν γενομένων, τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ περικαθαίροντας, ἐᾶν ζῶντας. καὶ ἐπιλέγειν τοῦ λοιμοῦ. φεῦγ᾽ ἐν κόρακας ὁ δὲ αἴσωπος μυθικῶς, κολοιὸν μέγαν νομίσαντα τοῖς κόραξιν ὅμοιον εἶναι, πρὸς αὐτοὺς

πολυθῆναι. ἡττηθέντα δὲ, πάλιν εἰς τοὺς κολοιοὺς ὑποστρέψαι. τοὺς δὲ, ἀγανακτήσαντας, παίειν αὐτὸν. λέγοντας, φεῦγ' ἐς κόρακας. ἀριστείδης δὲ ἀποδίδωσι, διὰ τὸ ἐν τραχέσι τόποις καὶ κρημνώδεσι νεοττοποιεῖσθαι, λέγειν ἡμᾶς φεῦγ' ἐς κόρακας. ἤγουν εἰς σκότος εἰς ὄλεθρον.

Ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας.

Ἐσκιμαλίχθαι σε χρή.

ἐπὶ τῶν δεξίων ὕβρεως. σκιμαλίσαι δὲ λέγεται, ὅταν βουλόμενοι ἐνυβρίσαι τινὰ, τὸν μέσον δάκτυλον ἐντείναντες, καὶ τοὺς λοιποὺς συνάγοντες, ἐνδείξωσι αὐτῷ. κυρίως δὲ λέγεται, τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν.

Ἔσχατα ἐσχάτων κακὰ διαπέπρακται.

ὁμοία ἐστὶ τῇ δεινοτέρα δεινίου. καὶ κακωτέρα κακώτωνος. ἐπὶ τῶν ἄκρα κακῶν.

Ἔσχατος μυσῶν πλεῖν.

οἱ δὲ, τὸ μὲν πρῶτον, ἠπόρουν. αὖθις δὲ τὴν αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς μυσίας εὗρον. ἔνιοι τὴν παροιμίαν, χρησμὸν λέγουσι τηλέφῳ μαντευομένῳ γεγονέναι παρὰ γονέων,

γονέων. ἐπὶ τίνας τόπους ἐλθὼν, εὕροι τοὺς γονεῖς. τὸν δὲ θεὸν προστάξαι πλεῖν ἐπὶ τὸ ἔσχατον μυσῶν. ἀφικόμενον δὲ εἰς τευθρανίαν, νέμεσθαι γοῦν ταῦτα τὰ χωρία τοὺς μυσοὺς ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ. τάσσεται δὲ ἡ παροιμία, ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων.

Ἔσω ταμίας. τὰ δ' ἄλλ' εἰ βούλει κύων.

ἐπὶ τῶν παρ' ἀξίαν εὐημερούντων. καὶ μάλιστα εὐνούχων.

Εὐγενέστερος κόδρου.

Τοῦ υἱοῦ μελάνθου ἐπὶ μεσσηνίου. πρὸς δὲ μέδοντος καὶ νηλέως. οὗτος ὁ κόδρος, δωριέων ἐπιστρατευσάντων ἀθηναίοις, ἐπεὶ τοὺς εἰς πελοποννήσου φυγάδας προσεδέξαντο, ἐν οἷς.

Ἔτρεχέ τις μὴ βραχθείη, καὶ εἰς βόθρον ἀπεπνίγη.

ἐπὶ τῶν μικρὰ φευγόντων κακὰ καὶ περιπιπτόντων μείζοσι. καὶ μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος αἱρήσειν τὴν πόλιν, ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως νοήσας τὸν χρησμὸν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν δωριέων ἕνα ἐξ

αὐτὸν ἀνεῖλε. διοργισθέντες δὲ οἱ λοιποὶ, συλλαβόντες αὐτὸν, ἀνεῖλον ὡς δίδυμος.

Εὐτυχία, πολύφιλος.

Εὐμεταβολώτερος κοθόρνου.

Κόθορνος ὑπόδημα ἁρμόζον δεξιῷ τε καὶ εὐωνύμῳ ποδί. ὅθεν καὶ θηραμένην τὸν ἐπὶ τῶν τριάκοντα κόθορνον ἐκάλουν οἱ ἀθηναῖοι, ἐπὶ τῷ μεταφερομένῳ ὃν συνεχῶς ἡ παροιμία.

Εὔδοντι κύρτος.

ἐπὶ τῶν εὐτυχούντων.

Εὐήθει δάκτυλον μὴ δείξῃς.

ἵνα μὴ καὶ τὴν παλάμην σου καταπίῃ. ὅτι οὐ χρὴ θάῤῥος διδόναι τοῖς ἀνοήτοις.

Εὔχου τὸ σὸν πλησίον ἔχειν.

ἐπὶ πλέον δὲ τῇ χύτρᾳ. παρ' ὅσον τὸ οἴκοι ἔχειν βέλτιον τοῦ παρὰ τοῦ γείτονος.

Εὐρύβατος. ἤτοι πονηρός.

ἀπὸ τοῦ πεμφθέντος ὑπὸ κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὡς φησιν ἔφορος, εἶτα μεταβαλλομένου πρὸς κῦρον. ἦν δὲ ἐφέσιος. οἱ δὲ τὸν κέρκωπα τὸν ἕτερον. διότιμος ἡρακλέους ἐν ἄθλοις. κέρκωπες δὲ πολλὰ κατὰ τὴν ὁδὸν πατέοντες βοιωτῶν σίνοντο.

γλύος

ἐγγύος τ' ἦσαν οἱ χαλκῆες. ὡς τὸν εὐρύβατόν τε δύω βαρυδαίμονε ἄνδρες. νικάνδρου. αἰγίνεον εὐρύβατον τὸν πανουργότατον οὗ μνημονεύει ἀριστοτέλης ἐν πρώτῳ περὶ δικαιοσύνης. δοῦρις δὲ ἐν τετάρτῳ περὶ ἀγαθοκλέα. ἀπὸ τοῦ ὀδυσσέως ἑταίρου. λέγεται δὲ τὸν εὐρύβατον κλέπτην ὄντα, εἰρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες εἶλον αὐτὸν οἱ φυλάττοντες, ἐκέλευσαν αὐτὸν δείξασθαι τὴν περὶ τοὺς οἴκους ἀναρρίχησιν. τὸ μὲν πρῶτον, διωθεῖσθαι. δεομένων δὲ, ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους καὶ τὰς ἐγκεντρίδας, ἀναδραμεῖν εἰς τοὺς τοίχους. ἀναβλεπόντων δὲ ἐκείνων καὶ θαυμαζόντων τὰς τέχνας, λαβεῖν αὐτὸν τὸν ὄροφον. καὶ ὑπερβαλόντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπηδῆσαι.

Εὐρυκλῆς, πᾶς ἐγγαστρίμυθος.

ἀπὸ εὐρυκλέους τοιούτου τινὸς μάντεως.

Εὐγενὴς ἐκ βαλαντίου.

ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

Ἔφυγον κακὸν εὗρον ἄμεινον.

ὅτι τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν φησὶν ἀπεῶσθαι, εὑρῆσαι δὲ τὴν ἥμερον τροφήν. τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν στέμμα, κακὸν ἔλεγον. νόμος ἦν Ἀθήνησι, ἀμφιθαλῆ παῖδα ἐστεμμένον ἀκάνθαις μετὰ δρυΐνων καρπῶν, λίκνον βαστάζοντα ἄρτων πλέων, τοῦτο λέγειν. αἰνιττόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν.

Ἐφ' ὕδωρ.

ἐν ταῖς δίκαις ὁ ἐπιμελησόμενος τινὸς ἐλάλει πρὸς ὕδωρ.

Ἐφ' ἑνὶ παιδὶ σαλεύει.

ἤτοι ἔχει τὰς ἐλπίδας τοὺς γόνους. λέγεται δὲ καὶ ἐπὶ τῶν πλοίων, ὡς δίων ἐν ῥωμαϊκοῖς. ὀλίγα μὲν γὰρ καὶ τὰ κουφότατα τῶν πλοίων πρὸς τῇ γῇ ὁρμεῖ. τὰ δὲ πλείω καὶ μείζω μετέωρα διὰ τὰ τενάγη ἐπισαλεύει.

Ἐχῖνος τὸν τόκον ἀναβάλλει.

λέγεται ἐφ' ὧν τὸ ἀναβάλλεσθαι πρὸς χεῖρον γίνεται. καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κατὰ τὸ μῆκος, ἀνέχειν τὸν τόκον. εἶθ' ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν

ἐν τῷ

ἐν τῷ τόκῳ.

Ἔχομεν σύμμαχον θεὸν ἥφαιστον. ἐπὶ τῶν ἐλπιζόντων ῥᾳδίως νικῆσαι τοὺς πολεμίους.

Ἔχομεν κύνα τῷ πλωκὶ βοηθοῦντα. ἐπὶ τῶν τοῖς οἰκείοις θαρρούντων, ὑπ' ἐκείνων δὲ ἐπιβουλευομένων.

Ἔχει καὶ ἡ μυῖα σπλῆνα. ἔχει δὲ χολὴν ὁ μύρμηξ. ἐπὶ τῶν εὐκαταφρονήτων.

Ἕψεσθαι σοι πειρᾷ λίθον. ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

Ζεὺς ἀετὸν εἵλετο. ἐπὶ τῶν λυσιτελῆ καὶ καλὰ ἐκλεγομένων. λέγεται γὰρ κατὰ τὴν τοῦ διὸς γένεσιν τὸν ἀετὸν γεννηθῆναι. ἐν δὲ τῇ πρὸς γίγαντας μάχῃ παραπτῆναι. διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν, ζεὺς ἀετὸν εἵλετο. ᾧ καὶ προστάσσει καὶ ἀγγέλῳ χρῆται πρὸς ἐκείνους, οὓς ἐπιφανείας ἀξιοῖ.

Ζεῦγος κεραβύλου.

λέγεται ἐπὶ πόρνων. οὗτος γὰρ δύο ἔχων κατηγορεῖτο πορνοβοσκὸς ὢν ἑταίρας.

Ζεὺς κατεῖδε χρόνιος εἰς τὰς διφθέρας. ὅτι οὐ καταπροΐεντος. τὸν γὰρ διαφασὶν

εἰς διαφθορὰς τὰ πραττόμενα τοῖς ἀνθρώποις γράφειν.

Ζεῖ χύτρα ζῇ φιλία.

ἐπὶ τῶν διὰ δεῖπνα συνιόντων εἰς φιλίαν.

Ζήνωνος ἐγκρατέστερος.

οὗτος γὰρ ἀκριβῆ δίαιταν εἶχε καὶ λιτήν. ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι. ἑβδομήκοντα γὰρ πρὸς τοῖς ἓξ βιοὺς ἔτη, κατέστρεψε τὸν βίον. ἄνοσος καὶ ὑγιὴς διατελέσας.

Ζητῶν ὄψον θοἰμάτιον ἀπώλεσα.

ἐπὶ τῶν ἀτυχεστάτων.

Ζητεῖς τὸν οὐ παρόντα.

ὁ ἡρακλῆς συμπλέων τοῖς ἀργοναύταις, περὶ τινα κρήνην ἀπέστειλε τὸν ὕλαν ὑδρεύσασθαι. νηρηΐδες δὲ τὸν νεανίαν λαβοῦσαι τοῖς ὕδασιν ἀπεθέωσαν. ἡρακλῆς δέ, μηκέτι τοῦ μειρακίου ὑποστρέφοντος, πᾶσαν ὕλην καὶ κρήνην περιτρέχων, τὸν οὐ παρόντα ζητῶν κατεφαίνετο. περὶ οὗ φησὶ καὶ θεόκριτος. κᾤχεθ' ὕλας ὁ ξανθὸς ὕδωρ ἐπὶ δόρπον οἴσων.

Ζωπύρου τάλαντα.

κρατῖνος. περὶ φιλίππου πόρσω ὄντα, ὑπὸ φιλοτιμίας χαριζόμενον βασιλεῖ, μα

στιγῶσαι

στιγῶσαι ἑαυτόν. καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀποστερήσαντα, εἰσελθεῖν εἰς τὴν Βαβυλῶνα. καὶ πιστευθέντα διὰ ταύτην τὴν κακουχίαν, καταλαβεῖν τὴν πόλιν. καὶ ἐκ μεταφορᾶς εἰπεῖν, τάλαντα καὶ ζυγά. οἱονεὶ ἔργα καὶ πράξεις.

Ζωὴ πίθου.

Ἐπὶ τῶν μετρίως ζώντων. ἀπὸ Διογένους τοῦ φιλοσόφου. ὁ πίθος ἡδίστη διατριβή.

Ζωὸς γηρήσῃ κρομμύου μοῖραν λαβών.

Ἐπὶ τῶν ἐκ μικρᾶς αἰτίας, μεγάλην δόξαν καρπουμένων.

Ζῶμεν οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.

Ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων.

Ἡ ἀφύη πῦρ.

Ἐπὶ τῶν ταχέως λαμβανόντων. παρόσον ἡ ἀφύη ταχέως ἕψεται.

Ἡδὺ χελώνης κρέα φαγεῖν.

Ἢ μὴ φαγεῖν. τῆς χελώνης ὀλίγα κρέα βρωθέντα, στρόφους ποιεῖ. πολλὰ δὲ καθαίρει. ὅθεν ἡ παροιμία, ἐπὶ τῶν ἀπροδιώτων μὲν πρᾶγμα, στρατευομένων δέ. φασὶ δὲ αὐτῇ

τορνίωνος εἶναι.

Ἡ κύων ἐν φάτνῃ.

πρὸς τοὺς μήτε ἑαυτοῖς χρωμένους, μήτε ἐῶντας. πρόσεστιν ἡ κύων κριθὴν οὐκ ἐσθίει μέντοι ταῦτα ἐν φάτνῃ. τὸν ὕπνον οὐκ ἐᾷ.

Ἡλικίαν σὴν οὐκ ἔχω.

ἐπὶ τοῦ καταφρονοῦντος τινὸς ὡς ἀνοήτου.

Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.

Ἡ λύκου δίκας.

ὁ λύκος ἀθλώνησι πρὸς τὴν δικαστείαν, ἥρως μορφὴν ἔχων θηρείου.

Ἧλιξ ἥλικι πρέπει.

Ἧλος τὸν ἧλον καὶ πάτταλος τὸν πάτταλον ἐξέκρουσεν.

ἐπὶ τῶν ἰωμένων δι' ἁμαρτήματος ἁμάρτημα.

Ἠλιβιώτερος ἀδώνιδος τοῦ πραξιτέλους.

ἄδωνις γάρ τις πραξιτέλους υἱὸς ἀποθανὼν καὶ ἐρωτηθεὶς πρὸς τῶν ἐν ἅδου τί κάλλιστον ἄνω κατέλιπεν, ἀπεκρίνατο. ἥλιον. σελήνην. σῦκα. καὶ μῆλα. ἔδοξεν γοῦν ἠλίθιος τοῦ τὰ ἄξια σῦκα ἡλίῳ.

Ἡμέραι τελείας.

ἐπὶ τῶν ἁπλουστάτων ταττομένη.

ἡ μέρα ἐν

Ἢ μέλλοντα ἀποθανεῖν, ἢ νικᾶν.

ἐπὶ τῶν εὐψύχων.

Ἢ μορσίμους τὶς ῥῆσιν ἐξεγράψατο.

ἐπὶ τῶν ἀποβλήτων καὶ διαβεβλημένων.

Ἢ ὃ πέτομαι.

ἐπὶ τῶν ἐκρύπτειν πειρωμένων τὰ οἰκεῖα ἐλαττώματα.

Ἡ περγαία ἄρτεμις.

ἐπὶ τῶν ἀγύρτων καὶ πλανήτων παρόσον καὶ ἡ θεός.

Ἡρακλῆς ξενίζεται.

ἐπὶ τῶν βραδυνόντων. οἱ γὰρ ὑποδεχόμενοι τὸν ἡρακλέα, βραδύνουσιν. πολυφάγος γὰρ ὁ ἀνήρ,

Ἡρακλῆς καὶ πίθηκος.

ἐπὶ τῶν ἀσυμβάτων.

Ἡράκλεια λουτρά.

ἐπὶ τῶν δῶρα λαμβανόντων. κατὰ δωρεὰν γὰρ ὁ ἥφαιστος ἀνέδωκε λουτρὰ τῷ ἡρακλεῖ.

Ἡράκλειος ψώρα.

ἡ ἡρακλείων θερμῶν δεομένη πρὸς θεραπείαν.

Ἦσαν πότ᾽ ἦσαν ἄλκιμοι μιλήσιοι.

ἐπὶ τῶν ποτὲ εὐπόρων γεγονότων.

Ἡ τῆς ἤθης τινὸς ἀλεκτρυόνος.

ἐπὶ δούλων ἢ θεραπόντων ἑπομένων τοῖς δεσπόταις.

Ἡ Φάνου θύρα.

τὸν Φάνον φασὶ, δῆμον ὀβολοστάτην εἶναι. ἄλλως δὲ τυφλόν. ὑπανοιγομένης δὲ τῆς θύρας τοῦ ταμιείου αὐτοῦ κατασκευάσαι τοιαύτην, ἵν' οὐκ ἄν τις ἀνοίξῃ μὴ ψόφον ποιήσας. ἐνίους δὲ λέγειν, ὡς μοιχευομένης αὐτοῦ τῆς γυναικὸς, τὴν αὔλιον θύραν εἰργάσατο, ὡς μὴ ἄνευ ψόφου ἀνοίγεσθαι. τῆς δὲ, ἀπὸ τοῦ τέγους δεχομένης τὸν μοιχὸν, χλευάζοντας τοὺς γείτονας, ἐπὶ τῶν μηδὲν ἀνυόντων ὧν δεῖ φυλάττειν, τὴν Φάνου θύραν ἔστι λέγειν.

Ἡ φρονεῖν ἔλασσον, ἢ δύνασθαι δεῖ μεῖζον.

Ἡφαίστειος δεσμός.

ἐπὶ τῶν ἀφύκτων.

Θάμυρις μαίνεται.

ἐπὶ τῶν συνετῶς βιούντων, δοκούντων δέ τισι μαίνεσθαι. Θάμυρις γάρ τις ἰδὼν μαστιγούμενον οἰκέτην παρὰ δεσπότου αὐτοῦ

ὧν δεῖ

γὰρ τῶν ἱερῶν, καὶ μὴ τοῦ ἱεροῦ φροντίζοντος, τὴν οὐσίαν αὐτοῦ δοὺς, ἀπεδήμησεν. ὃν ὁρῶντες ἔλεγον, μαίνεται θάμυρις.

Θαλάττιον ἐκ χαράδρας ὕδωρ.

ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προσφιλοτιμουμένων.

Θάσος ἀγαθῶν.

ἐπὶ τὸν εὐδαίμονα καὶ λαμπρὸν δεῖξαι τινὰ ἐπαγγελλομένων.

Θᾶττον ὑπὸ μάλης πρίν τ' ἐλάφους κρύψειας, ἢ γνῶ κίναιδον.

ἐπὶ τῶν ἀναισχύντων.

Θαλάττιος ὢν μή πως χερσαῖος γένῃ.

ἐπὶ τῶν καταλιμπανόντων τὰ οἰκεῖα ἐπιτηδεύματα, καὶ τοῖς μὴ προσήκουσι ἐπιχειρούντων.

Θεᾶ γένους χρήματα.

ἐπὶ τῶν ἐπηρμένων πτωχῶν. οὗτος γὰρ ὢν πένης, ἔλεγεν ἑαυτὸν τὸν πλούσιον.

Θεὸς ἀναίδεια.

ἐπὶ τῶν ἀναισχυντίᾳ ὠφρυωμένων.

Θυμὸς ἔσχατον γηράσκει.

λέγεται διὰ τοὺς πρεσβυτέρους. ὅσον γὰρ

γηράσκουσι, τὸν θυμὸν ἐῤῥωμενέστερον ἔχουσι.

Θυμόσοφος.

ἐπὶ τῶν ὀξυμαθῶν, καὶ εὐφυῶν.

Ιαλέμου ψυχρότερος.

Ιάλεμον τὸν θρῆνον φασί. λέγουσι δὲ αὐτὸν υἱὸν καλλιόπης γενέσθαι, κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν.

Ἰαίνεται διηγήσει τῶν τοιούτων λόγων.

ἐπὶ τῶν διαχεομένων τὴν ψυχὴν καὶ χαιρόντων ἐπαίνοις.

Ἰδοὺ ῥόδος. ἰδοὺ καὶ πήδημα. ὅτι πᾶς λόγος περιττός ἐστιν, ἂν μὴ πρόχειρος ἡ ἀπόδειξις τοῦ πράγματος ᾖ.

Ἱερὰ ἄγκυρα.

ἡ μεγάλη βοήθεια. ἄγκυρα ἐστὶν ἐν τῇ νηῒ ἱερὰ καλουμένη. καὶ ὅτε μέγας καταλαμβάνει κίνδυνος, τελευταία βάλλεται.

Ἰλιὰς κακῶν ἐπήει.

ἐπὶ τῶν ταῖς μεγίσταις συμφοραῖς κεχρημένων λέγεται.

Ἱματισμὸς διονυσίου.

ἐπὶ τῶν ἀρχαῖα πεμπόντων. ταῖς γὰρ

θυγα-

θυγατράσι τοῦ ἀρχιδάμου ἱματισμὸν πολυτελῆ διονυσίου τοῦ τυράννου σικελίας πέμψαντος οὐκ ἐδέξατο. εἰπὼν, φοβοῦμεναι, μὴ περιθέμεναι αἱ κόραι φανῶσι μοι αἰσχραί.

Ἱππόλυτον μιμήσομαι.

ἐπὶ τῶν σωφρονεῖν βουλομένων.

Ἱππέας εἰς πεδίον προκαλῇ.

ὅπερ ἐστι τοὺς εὐδαιμονοῦντας, εἰς ἄπορ' εὐδαιμονοῦσιν ἔργα.

Ἴσως ἐριννὺς ἐστιν ἐκ τραγωδίας.

τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων, τραγωδίοις μᾶλλον ἁρμόττει.

Ἴσα πόλεμον οὐ ποιεῖ.

Ἰσότης φιλότης.

Ἰχθὺς ἐκ τῆς κεφαλῆς ὄζειν ἄρχεται.

ἐπὶ τῶν ἐπιστάτας φαύλους ἐχόντων.

Ἰχθὺν νήχεσθαι διδάσκεις.

ἐπὶ τῶν διδασκόντων τινὰς, ἃ ἐπίστανται.

Κακοῦ κόρακος κακὸν ὠόν. κόραξ τις συνετὸς ἀνὴρ κεχρῆσθαι, πράγμασι ἱκανὸς, συνιδὼν ὅτι οὐχ ὁμοίως τυράννῳ.

διακωλύεσθαι, καὶ δή μου γνώμην χειρώσασθαι, ἀπελθὼν συνέθηκε τέχνην περὶ προοιμίων καὶ διηγήσεων καὶ ἀγώνων καὶ ἐπιλόγων δι᾽ ὧν τὸν δῆμον ἔπειθεν. ἐντεῦθεν περιῄει βοῶν καὶ παρακαλῶν τὸν βουλόμενον μαθεῖν, ἐπὶ ἐν τῷ μισθῷ χιλίων δραχμῶν. ὁ τοίνυν τισίας προσῆλθε μαθεῖν. καὶ μαθὼν ἠγνωμόνησεν αὐτῷ περὶ τὸν μισθόν. καὶ ἐπὶ τούτῳ συνέστη δικαστήριον. καὶ τῶν κριτῶν συνελθόντων, ἔφη ὁ κόραξ διλήμματι χρησάμενος. ὡς εἰ μὲν νικήσει ὁ τισίας, ὤφειλε παρασχεῖν. ὠφέληται γάρ. εἰ δὲ μὴ νικήσει, καὶ οὕτως ὤφειλε παρασχεῖν. ἡττήθη γάρ. ὁ δὲ τισίας πρὸς ταῦτα λέγων ἀπεκρίνατο. ὡς εἰ μὲν νικήσω, οὐκ ὤφειλον παρασχεῖν. οὐ γὰρ ὠφελήθην. ἀρέσαντες οὖν οἱ δικασταί, ἀνεβόησαν. λέγοντες, κακοῦ κόρακος κακὸν ὠόν. ἢ ὅτι τὸ ζῶον ὁ κόραξ, ἄβρωτόν ἐστι, καὶ τὸ ὠὸν αὐτοῦ, ὅθεν ἡ παροιμία.

Καὶ ἐπὶ τῶν βωμῶν τὸν ἐπίβουλον.

λείπει χρὴ κτείνειν. ἀγασικλῆς ὁ λακεδαιμονίων βασιλεύς, ἐφεστὼς ποτὲ τῷ βωμῷ τῆς χαλκιοίκου, καὶ θύων, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν, οὐ διετράπη. λαβὼν δὲ περι-

φανῶς

φανῶς ἐναντίον πάντων ἀπέκτεινε. παρὰ σειπῶν, νὴ τοὺς θεοὺς ἡδέως τὸν ἐπίβουλον καὶ ἐπὶ τῷ βωμῷ.

Καὶ βαίτυλον ἂν κατέπιες.

ἐπὶ τῶν ἄγαν λιμβῶν. βαίτυλος δέ ἐστιν, ὁ ἐσπαργανωμένος λίθος, ὃν κρόνος κατέπιεν ἀντὶ τοῦ διός.

Καταφρονεῖς θανάτου.

ὅτι οἱ τοιοῦτοι μεγίστην ἑαυτοῖς δόξαν περιποιοῦσι.

Κανθάρου μελάντερος. καὶ κανθάρου σοφώτερος.

ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.

Καρκῖνος λαγών.

ἐπὶ τῶν ἀδυνάτων.

Κακῶν πανήγυρις.

ἐπὶ πλήθους κακῶν

Καδμεία νίκη.

ἡ ἐπὶ κακῷ νίκη. ἐτεοκλῆς γὰρ καὶ πολυνείκης υἱοὶ οἰδίποδος. τινὲς δὲ κάδμου. οὗ τὴν βασιλείαν οἱ υἱοὶ διεδέξαντο. καὶ συνέθεντο πρὸς ἀλλήλους ἕνα καὶ ἕνα χρόνον βασιλεύειν αὐτοῦ. βασιλεύσας δὲ ὁ ἐτεοκλῆς, οὐκ ἐβούλε

τὸ Πολυνείκην ἐπὶ τὸ δόξαν βασιλεῦσαι. καὶ περὶ πολέμου ἀλλήλους διεχειρήσαντο. καὶ ἐπὶ κακῶν συνικήκασιν. ὅταν ὁ ἕτερος ἀνεῖλε τὸν ἕτερον.

Καὶ τίς ἂν ταύτην τὴν πόλιν ἐπαινοίη δεόντως,

ἣν οὐδεὶς ἔστερξε γενόμενος βελτίων. εἴρηται, διὰ τὸ φθόνῳ τοὺς βελτίστους ὑπερορίζεσθαι.

Κακῶς ἀκούειν, πρὸς σὲ δεῖ, ἢ ἄλλως.

ἀντὶ τοῦ σὺ εἶ σαυτῷ ἢ τοῦ ἐπαινεῖσθαι, καὶ τοῦ ψέγεσθαι αἴτιος.

Καθ᾽ ἑαυτοῦ Βελλεροφόντης.

ἐπὶ τῶν καθ᾽ ἑαυτῶν τι ποιούντων.

Κακὸν ἄγγος οὐ κλᾶται.

παραπλησία τῇ κακὸς ἀνὴρ μακρόβιος.

Κατὰ βοὸς εὔχου.

ἐπὶ τῶν μέγα βοώντων.

Κανθάρου σκιά. ἐπὶ τῶν φοβουμένων ἔνθα οὐδὲ ἂν ἐπὶ νεκροῦ κερδαίνειν. ἐπὶ τῶν κερδαινόντων ἐκ πενήτων ἢ τεθνεώτων.

Κάτοπιν ἑορτῆς ἥκεις.

ἐπὶ

ἐπὶ τῶν καλοῦ πράγματος ἀπολιμπανομένων.

Καρκῖνος ὀρθὰ βαδίζειν οὐ μεμάθηκεν.

ἐπὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων περί τι.

Καρικὸς τρόπος.

ἐπὶ τῶν εὐτελῶν.

Καθώσπερ αἱ τίτθαι σιτίζεις κακῶς.

ἐπὶ κλέωνος ἐρρέθη. ὃς ὀλίγα τῷ δήμῳ χαριζόμενος, τὰ πλείω ἐκέρδαινε. λέγεται δὲ ὅταν προφάσει τινὸς λαμβάνων τὶς χρήματα κατεσθίει αὐτά. αἱ γὰρ τίτθαι διαμασώμεναι τὰς τροφὰς, ἐξαίρουσαι τοῦ στόματος, τοῖς τῶν παιδίων ἐντιθέασιν, εἶτα συμβαίνει αὐτὰς, ὀλίγα μὲν τοῖς παιδίοις διδόναι. τὰ πλείω δὲ κατεσθίειν. κακὸν δῶρον ἴσον ζημίᾳ.

Κατὰ ῥοῦν φέρεται.

ἐπὶ τῶν εὐπλοούντων καὶ εὐτυχούντων.

Κακὰ μὲν θρίπες.

κακὰ δὲ ἶπες. ἄμφω γὰρ λυμαντικοί. καὶ οἱ μὲν, τὰ ξύλα. οἱ δὲ, τὰ κρέατα ἐσθίουσι.

Κερκωπίζειν.

ἀντὶ τοῦ ἀπατᾶν καὶ δολιεύεσθαι. μετῆνεκται δὲ ἀπὸ τῶν κερκώπων.

Κέντει τὸν πῶλον περὶ τὴν νύσσαν.

ἤτοι πρὸς τὸ προκείμενον ἐπάνηκε. νύσσα δέ ἐστιν ὁ καμπτήρ. καθ' ὃν οἱ ἱππεῖς δρόμῳ φθάνοντες, ἔκαμπτον, καὶ εἰς τὴν ὕσπληγγα ἐπανήρχοντο. ὁ δὲ πρῶτος φθάσας, ἐταινιοῦτο.

Κενταύρων ὕβριν. μεμίμηται.

ἐπὶ τῶν ἐπὶ πλούτῳ γαυριόντων καὶ ὑβριζόντων. λέγεται δὲ τοὺς κενταύρους, ὡς θηρία ἐγένοντο. καὶ ἵππου μὲν ἔχον ὅλην τὴν ἰδέαν, πλὴν τῆς κεφαλῆς. εἴτις οὖν πείθεται τοιοῦτον θηρίον γενέσθαι, ἀδυνάτοις πιστεύει. οὔτε γὰρ ἡ φύσις σύμφωνος ἵππου καὶ ἀνδρός, οὔτε ἡ τροφὴ ὁμοία. οὔτε διὰ στόματος καὶ φάρυγγος ἀνθρωπείου δυνατὸν ἵππου τροφὴν διελθεῖν. εἰ δὲ τοιαύτη ἰδέα τότε ἦν, καὶ νῦν ἂν ὑπῆρχε. τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Ἰξίονος βασιλέως ὄντος Θεσσαλίας, ἐν τῷ Πηλείῳ ὄρει ἀπηγριώθη ταύρων ἀγέλη. καὶ τὰ λοιπὰ τῶν ὀρῶν, ἄβατα ἐποίει. εἰς γὰρ τὰ οἰκούμενα κατιόντες οἱ ταῦροι, ἔσινον τὰ δένδρα καὶ τοὺς καρπούς. καὶ ὑποζύγια διέφθειρον. ἐκήρυξεν

οὖν

σοῦν ὁ ἰξίων, ὡς ἐπιβοῦν ἕλοιτο τοὺς ταύρους, δώσειν χρήματα πάμπολλα. νεανίσκοι δέ τι-
νες ἐκ τῆς ὑπωρείας, ἐκ κώμης τινὸς καλουμέ-
νης νεφέλης, ἐπινοοῦσιν ἵππους κέλητας δι-
δάξαι. πρότερον γὰρ οὐκ ἠπίσαντο ἐφ' ἵπ-
πων ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν ἐχρῶν-
το. οὗτοι δὲ ἀναβάντες τοὺς κέλητας, ἤλαυ-
νον ἐφ' οὗ οἱ ταῦροι ἦσαν. καὶ ἐπεισβαλόντες
ἐν τῇ ἀγέλῃ ἠκόντιζον. καὶ ὅτε μὲν ἐδιώκον-
το ὑπὸ τῶν ταύρων. ἔφευγον οἱ νεανίαι. πο-
δωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι. ὅτε δὲ ἔστησαν
οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον. καὶ τοῦ-
τον τὸν τρόπον ἀνεῖλον αὐτούς. καὶ τὸ μὲν
ὄνομα ἐντεῦθεν ἔλαβον οἱ κένταυροι, ὅτι τοὺς
ταύρους ἐκέντουν. οὐδὲν γὰρ πρόσεστιν ταύ-
ρου τοῖς κενταύροις. ἀλλ' ἵππου καὶ ἀνδρὸς
ἰδέα οὐδὲν ἀπὸ τοῦ ἔργου. λαβόντες γοῦν οἱ
κένταυροι παρὰ ἰξίονος χρήματα, καὶ γαυ-
ριῶντες ἐπὶ τῇ πράξει καὶ τῷ πλούτῳ, ὑβρι-
σταὶ ὑπῆρχον καὶ ὑπερήφανοι καὶ πολλὰ κα-
κὰ εἰργάζοντο. καὶ δὴ καὶ κατ' αὐτοῦ ἰξίονος
ὃς ᾤκει τὴν καλουμένην λάρισαν πόλιν. οἱ δὲ
τό τε τότε τὸ χωρίον οἰκοῦντες, λαπίθαι ἐκα-

λοῦσθαι κεκλημένοι δὲ οἱ κένταυροι παρὰ τῶν λαπιθῶν ἐπὶ θοίνην, μεθυσθέντες, ἁρπάζουσι τὰς γυναῖκας αὐτῶν. καὶ ἀναβιβάσαντες ἐπὶ τοὺς ἵππους αὐτάς, ᾤχοντο εἰς τὴν οἰκίαν φεύγοντες ὅθεν ὁρμῶντο. ἐπολέμουν οὖν τοῖς λαπίθαις. καὶ καταβαίνοντες διὰ νυκτὸς εἰς τὰ πεδία, ἐνέδρας ἐποίουν. ἡμέρας δὲ γενομένης, ἁρπάζοντες, ἀπέτρεχον ἐπὶ τὰ ὄρη. οὕτως δ᾽ ἀποτρεχομένων αὐτῶν, ἵππων οὐραὶ καὶ ἀνθρώπων κεφαλαὶ μόνον ἐφαίνοντο. ξένην οὖν ὁρῶντες θέαν, ἔλεγον. οἱ κένταυροι ἡμᾶς κατατρέχοντες ἐκ νεφέλης, πολλὰ κακὰ ἐργάζονται. ἀπὸ δὴ ταύτης τῆς ἰδέας καὶ τοῦ λόγου, ὁ μῦθος ἐπλάσθη. ὡς ἐκ νεφέλης ἵππος τε καὶ ἀνὴρ ἐγεννήθη ἐν τῷ ὄρει.

Κεκύλισται ὁ πίθος.

τῶν ἐπὶ μίμησιν ἑτέρων μάτην τι ποιούντων.

Κενοὶ κενὰ βουλεύονται.

ἐπὶ τῶν ματαίως βουλευομένων.

Κεστρεὺς νηστεύει.

ἐπὶ τῶν λαιμάργων ἄπληστον γὰρ τὸ ζῶον.

Κιττὸς μετ᾽ ἀνθεστήρια. ἐπὶ βραδέων.

Κιλίκιοι τράγοι, οἱ δασεῖς.

ὅθεν

εἶθεν καὶ τὰ ἐκ τριχῶν κιλίκια λέγεται.

Κινεῖς τὸν ἀνάγυρον.

ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά. ἔστι δὲ ὁ ἀνάγυρος ἄνθος. ὃ τριβόμενον ὄζει. καὶ δῆμος ἐστὶν ἀττικῆς. καὶ ὄνομα κύριον ἥρωος. τούτου δὲ ἐστὶν ἐκεῖ τὸ ἄλσος. ὁ δὲ, τῷ υἱῷ αὐτοῦ ἀπέμηνε τὴν παλακήν. ἥτις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί. ὁ δὲ, ἐπήρωσεν αὐτὸν, καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις δὲ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν. ἡ δὲ παλακὴ, εἰς φρέαρ ἑαυτὴν ἔρριψεν. ἱστορεῖ δὲ ἱερώνυμος ἐν τῷ περὶ τραγῳδιοποιῶν. ἀπεικάζων τούτοις τὸν εὐριπίδου φοίνικα. ὅταν οὖν ἐπὶ οἰκείοις κακοῖς πράσσῃ τις, λέγεται κινήσαις τὸν ἀνάγυρον.

Κόσμει σπάρταν ἣν ἔλαχες.

ἐπὶ τῶν κοσμούντων τὸ κληρονομιαῖον γήδιον, σπαρτίων γὰρ ἐκληροδοτοῦντο.

Κοινὰ τὰ τῶν φίλων.

Κοσκίνῳ μαντεύεται. ἐπὶ τῶν εὐτελῶν μάντεων.

Κορυδέος εἰδεχθέστερος.

ἐπὶ δυσμορφίᾳ οὗτος διεβάλλετο.

Κολοφῶνα κακῶν ἐπέθηκας.

ἤτοι τὸ τέλειον καὶ πλῆρες.

Κυρήτων στόμα.

ἐπὶ τῶν μαντεύεσθαι ὑπισχνουμένων. μαντικοὶ γὰρ οἱ κρῆτες.

Κοινὸν ναυάγιον, τοῖς πᾶσι παραμύθιον.

ὅτι ῥαδίως φέρουσι οἱ ἄνθρωποι τὰς συμφορὰς, ὁρῶντες καὶ ἄλλους ταυτοπαθοῦντας.

Κόκκος σίτου πολὺ ἐγέννησε θάνατον.

ἐπὶ τῶν διὰ κέρδος εὐτελὲς, μέγαν ὑφισταμένων κίνδυνον.

Κόττου ἰσχυρότερος καὶ Βριάρεω.

φασὶ περὶ τούτων ὡς ἔχον ἑκατὸν χεῖρας ἄνδρες ὄντες. πῶς δὲ οὐκ εὔηθες τὸ τοιοῦτον. τὸ δ᾽ ἀληθὲς οὕτως ἔχει τῇ πόλει ὄνομα ἦν ἑκατονταχειρία, ἣν οὗτοι ᾤκουν. ἦν δὲ πόλις τῆς καλουμένης ὀρεστιάδος. ἔλεγον οὖν οἱ ἄνθρωποι, κόττος καὶ Βριάρεως οἱ ἑκατοντάχειρες, βοηθήσαντες τοῖς θεοῖς, ἐξήλασαν τοὺς τιτᾶνας ἐκ τοῦ ὀλύμπου.

Κράτης ἀπολύει τὰ κράτητος.

ἵνα μὴ τὰ κράτητος κρατήσῃ τὸν κράτητα. οὗτος γὰρ ἐκ Βοιωτίας ἕλκων τὸν χρυσὸν, φιλοσο-

λοσοφῆσαι θέλων τὴν κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔρριψε τῷ δήμῳ, εἰπὼν τὸν προοιμιώδη τοῦτον λόγον.

Κρητίζειν ἀντὶ τοῦ ψεύδεσθαι.

ἀπατητικοὶ γὰρ οἱ κρῆτες.

Κεῖος προφεῖα ἀπέτισεν.

ἀντὶ τῶν ἀχαρίστων. οἱ γὰρ κεῖοι, τὰς φάτνας πλήττουσι καὶ τοὺς τρέφοντας.

Κρεῖσσον ταῖς ἀλγηδόσι τελευτᾶν, ἢ περίφωρον γενόμενον διὰ μαλακίαν. τὸ ζῆν αἰσχρῶς περιποιήσασθαι. ἐξ ἀποφθέγματος.

Κρείσσων Ζώπυρος ἑκατὸν Βαβυλώνων.

ἐπεὶ γὰρ αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυρος, καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας ἐξηπάτησε Βαβυλωνίους, καὶ πιστευθεὶς παρ' αὐτῶν προέδωκε Δαρείῳ τὴν πόλιν, πολλάκις οὖν ὁ Δαρεῖος εἶπεν. οὐκ ἂν ἐθελήσαιμι λαβεῖν ἑκατὸν Βαβυλῶνας, ἀντὶ τοῦ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον.

Κρεῖσσον ὀλίγον φωτίζεσθαι, ἢ παντελῶς σκοτίζεσθαι.

Κριτὴς ἥκιστος ὑπάρχεις καὶ φί-

λων καὶ πολεμίων.

Ὑπατεύοντι γὰρ φαυρικίῳ, προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ πύῤῥου ἰατρός. ἐπαγγελλόμενος, ἐὰν κελεύῃ φαρμάκοις τὸν πύῤῥον ἀποκτείνειν. ὁ δὲ φαυρίκιος τὴν ἐπιστολὴν πρὸς πύῤῥον ἔπεμψεν. αἰσθέσθαι κελεύσας, διότι καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων. ἐπεὶ δὲ φωράσας τὴν ἐπιστολὴν ὁ πύῤῥος, τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ φαυρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκεν, οὐκ ἐδέξατο δωρεὰν, ἀλλ' ἴσους ἀντέδωκε. μὴ δόξῃ λαμβάνειν μισθόν. οὐδὲ γὰρ χάριτι πύῤῥου μεμηνυκέναι τὴν ἐπιβουλήν. ἀλλ' ὅπως μὴ δοκῶσι ῥωμαῖοι δόλῳ κτείνειν, ὡς φανερῶς νικᾶν οὐ δυνάμενοι.

Κύκνειον ᾆσμα.

Ἐπὶ τῶν ἐγγὺς θανάτου ὄντων. οἱ γὰρ κύκνοι θνήσκοντες ᾄδουσι.

Κυπρίτης καρπός.

Ἐπὶ τῶν καλὰ καὶ ὑψηλὰ λεγόντων. ἄκαρπα δέ.

Κυνόσαργες.

ὁ τόπος ἐν ᾧ οἱ νόθοι ἐξεκρίνοντο. κύνα

γάρ

γάρ τινα λέγεται ἁρπάσαντα τῶν θυομένων τὰ μυρία, αὐτοῦ καταβιῶναι. καὶ ἐπερωτήσαντας τοὺς θεοὺς λαβεῖν χρησμὸν ἡρακλέους ἱδρύσαι ἐκεῖ ἄγαλμα. δεῖ δὲ καὶ τοὺς νόθους συντελεῖν. ὅτι καὶ ἡρακλῆς νόθος ὤν, ἴσα θεοῖς ἐτιμήθη. λέγεται ἡ παροιμία, ἐπὶ τῶν νόθων.

Κύων εἰς τὸν ἴδιον ἔμετον.

ἐπὶ τῶν ἀπὸ τῶν ἀγαθῶν εἰς τὰ κακὰ ἐπανακαμπτόντων.

Κυνὶ δίδως ἄχυρα ὄνῳ δ' ὀστέα.

ἐπὶ τῶν τἀναντία ποιούντων.

Κωφότερος κίχλης.

παρόσον ἄφωνον τὸ ζῶον.

Λάβρακας μιλησίους.

ἐπὶ τῶν λαιμάργων. ἔστι δὲ ὁ λάβραξ, εἶδος ἰχθύος. τὴν δὲ προσηγορίαν πεποίηται, διότι κέχηνεν αὐτοῦ τὸ στόμα. καὶ ἀθρόως καὶ λάβρως τὸ δὲ λεαρκαταπίνει. ὅθεν καὶ δυσχερῶς ἁλίσκεται. ἐν μιλήτῳ δὲ τῆς ἀσίας μέγιστοι γίνονται λάβρακες καὶ πλεῖστοι διὰ τὴν ἐκδιδοῦσαν λίμνην εἰς θάλασσαν. χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι, εἰς τὴν λίμνην ἀνατρέχουσιν ἐκ

τῆς θαλάττης, καὶ οὕτω πληθύουσι παρὰ μιλησίοις ἀγωὸς καθεύδων. ἐπὶ τῶν προσποιουμένων καθεύδειν, ἢ πανουργευομένων.

Λαγωὸς τὸν περὶ τῶν κρεῶν τρέχει.

δειλὸν τὸ ζῶον. ὅθεν καὶ ῥήγινος λαγὼς ἐλέχθη. καὶ γὰρ τοὺς ῥηγίνους ἐπὶ δειλίᾳ ἐκωμώδουν. λέγεται δὲ ἐπὶ τῶν διὰ κινδυνευόντων ταῖς ψυχαῖς. καὶ πρὸς τοὺς καρτερῶς ἀγωνιζομένων.

Λακωνικὸν τρόπον.

περαίνειν. ἢ παρέχειν ἑαυτὰς τοῖς ξένοις. ἥκιστα γὰρ τὰς γυναῖκας ἐφύλαττον οἱ λάκωνες. καὶ λακωνίζειν τὸ παιδικοῖς χρῆσθαι.

Λακκόπλουτος εἰ κατὰ τὸν καλλίαν.

οὕτως ἔλεγον καλλίαν τὸν ἀθηναῖον, ἐξ αἰτίας τοιαύτης. ξέρξην ἡττηθέντα ἐν τῇ σαλαμῖνι ναυμαχίᾳ, φυγεῖν ἐξ ἀθηνῶν. ἐσταθμευκότος δέ τινος τῶν περσῶν ἐν τοῖς καλλίου, καὶ τὴν ἀποσκευὴν ἐκεῖ καταλελοιπότος, τῶν δὲ βαρβάρων ὀξεῖαν τὴν φυγὴν ποιησαμένων, ἐμβαλεῖν τοὺς οἰκέτας τοῦ πέρσου πολλὴν χρυσὸν εἰς λάκκον, ἐλπίζοντας ὕστερον ἀνασώσειν ἐπανελθόντας. οὐ μὴν γενέσθαι λέγεται. πρότερον γὰρ κυριεῦσαι τῶν

χρημά

χρημάτων καλλίαν.

Λαμίας δυσμορφότερος.

ταύτην ἐν τῇ λιβύῃ δοῦρις ἐν δευτέρᾳ λιβυκῶν ἱστορεῖ, γυναῖκα καλὴν γενέσθαι. μιχθέντος δὲ αὐτῇ τοῦ διὸς ὑφ᾽ ἥρας ζηλοτυπουμένην, ἃ ἔτικτεν ἀπολύναι, διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι. καὶ τὰ τῶν ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν. ἔστι δὲ καὶ πόλις θεσσαλίας ὅθεν ὁρμηθέντες οἱ ἕλληνες μετὰ τὸν ἀλεξάνδρου θάνατον, ἀθηναίων ἡγουμένων, τῆς ἐλευθερίας ἀντιποιησάμενοι, τὸν ἀντίπατρον ἐνίκησαν. Μένανδρος ἐν ἀνδρογύνῳ. πλήσας γὰρ ἔφθειρεν ἐκ παρατάξεως πόθεν τὰς ἐν λαμίᾳ πάσας.

Λαρινοὶ βόες.

ἀντὶ τῶν εὐτραφῶν. ἀπὸ λαρίνου βουκόλου τοῦ ἐν ἠπείρῳ κλέψαντος τὰς ἡρακλέους βοῦς ὡς λύκος ὁ ῥήγινος, ὅτε τὰς γηρυόνου βοῦς ἤλαυνε. πρόξενος δὲ αὐτὸν τὸν ἡρακλέα ἀνεῖναί τινας περὶ δωδωναίῳ διί. ἀπολλόδωρος δὲ αὖ τοὺς εὐτραφεῖς, λαρινοὺς καλεῖ. λαρινεύειν γὰρ τὸ σιτεύειν.

Λάρος κεχηνώς.

ἐπὶ τῶν ἁρπακτικῶν καὶ κλεπτῶν.

Λάρος ἐν ἕλεσιν.

ἐπὶ τῶν ταχὺ ἀποδιδόντων.

Λεβηρίδος γυμνότερος καὶ κινδάλου.

ἔστι δὲ λεβηρὶς τὸ δέρμα, ὃ ἀποδύεται ὁ ὄφις. ὁ δὲ κίνδαλος, εἶδος ὀρνέου ἀσάρκου.

Λειβηθρίων ἀνοητότεροι.

Θουκυδίδης ταύτῃ ἐχρήσατο. οἱ γὰρ Λειβήθριοι, ἔθνος ἦν μωρόν. ἀπὸ τόπου Λείβηθρα καλουμένου ἐν ᾧ κατῴκουν οὕτω προσονομαζόμενοι.

Λέγειν μὲν τὰ ἄριστα

πράττειν δὲ τὰ κάλλιστα. ἔστι δὲ ἀποφθέγματος.

Λεωκόρειον οἰκεῖς.

ἐπὶ τῶν λιμωττόντων. ἔστι δὲ τόπος τῆς ἀττικῆς. ἐλίμωξε ποτὲ ἡ ἀττική. καὶ λύσις ἦν τῶν δεινῶν, παιδὸς σφαγή. λεὼς οὖν τις τὰς ἑαυτοῦ θυγατέρας ἐπιδέδωκε, καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν. καὶ ἐκ τούτου ἐκλήθη ὁ τόπος λεωκόρειον. ὁ λεὼς δὲ ἦν, υἱὸς ὀρφέως. οὗτος δ' ὁ λεὼς ἔσχεν υἱὸν κύλανθον. ἦν δὲ τὰ ὀνόματα τῶν θυγατέρων τούτου, ἃς ὑπὲρ τῆς χώρας δέδωκεν εἰς σφαγήν, φρα-

σιθέα

σιθέα. θεόπη. καὶ εὐβούλη.

Λέοντα ξυρεῖν, ἢ κολοκὸν κυείττειν.

ἐπὶ τῶν μὴ πειθομένων περί τι.

Λεπτή τις ἐλπὶς ἐν ἐφ᾽ ἧς ὀχούμεθα.

ἐπὶ τῶν ἀμηχάνων.

Λεπτὴν πλέκει.

λεγόμενόν τι ἐπὶ τῶν ποιητῶν. οἷον, ἀκελέβη. στενή, ἀθηνᾶ.

Λέρνη θεατῶν.

ἀντὶ τοῦ κακὸν θέατρον. κρατῖνος. οἱ μὲν διὰ τὴν ὕδραν. οἱ δέ, διὰ τὸ τοὺς ἀργείους τὰ καθάρματα ἐκεῖ ἀποφόρειν. ὁ γὰρ δαναὸς ἐν τῇ λέρνῃ τὰς κεφαλὰς τῶν αἰγυπτιαδῶν ἀπέθετο. καὶ ὡς εἰκὸς ἐφ᾽ ὕβρει ἐκέλευσε τὰ δυσοιώνιστα ἐκεῖ ῥίπτειν. ἦν δὲ ἡ λέρνη πηγή.

Λεσβίων ἀξία.

ἐπὶ τῶν ἀπράκτων.

Λέσχη ἐγκάθη.

ἐπὶ τῶν διαλεγομένων καὶ φιλοσοφούντων. τὸ γὰρ παλαιὸν αἱ καθέδραι καὶ οἱ

τόποι, ἐν οἷς εἰώθεισαν ἀθροιζόμενοι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο. οὕτω φησὶ ὁ ἱεροκλῆς ἐν πρώτῃ φιλοσοφουμένων.

Λευκὴν μάζαν φυρῶσιν.

ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων. ἔων δ' εὐθὺς εἰς ἀγῶνας. ἐπὶ τῶν ἀνδρείως ἀγωνιζομένων.

Λευκὴ στάθμη, λευκῷ λίθῳ.

ἐπὶ τῶν τὰ ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων.

Λήμνιον κακόν.

ἐκ γὰρ Ἀθηνῶν ἁρπάσαντες γυναῖκας οἱ Λήμνιοι, καὶ τεκνοποιησάμενοι ἐξ αὐτῶν, κατέσφαξαν αὐτὰς μετὰ τῶν τέκνων. ἔπειτα δὲ πάντας αἱ γυναῖκες τοὺς ἄνδρας, ὅτι αὐταῖς οὐ προσεῖχον, ἀνεῖλον ἅμα ταῖς τῶν θρᾳκῶν γυναιξίν, ἐπὶ τῇ δυσωδίᾳ. ἣν μυρσίλος μὲν διὰ τὸν τῆς μηδείας ἐπὶ ὑψιπύλῃ ζῆλον καταχεῖν. καύκαλος δέ φησιν, ὅτι ἔθος ἦν τοῖς λημνίοις κατ' ἔτος θύειν τῇ ἀφροδίτῃ. παριδόντες οὖν τὸ τοιοῦτον ἐτήσιον ἔθος, χεδὸν οὐ μνήμην ἐποίουν αὐτῆς. αὕτη δὲ ὀργισθεῖσα, ἐπέβαλε ταῖς γυναιξὶν αὐτῶν δυσωδίαν. διὸ ἦν οἱ ἄνδρες αὐτὰς ἀπεστρέφοντο. ἐκ

το. αἱ δὲ, ὀργισθεῖσαι, ἀνεῖλον τὰς ἑαυτῶν ὁμευνέτας. μόνη δὲ ἡ ὑψιπύλη ἔσωσε τὸν ἑαυτῆς ἄνδρα θόαντα. ὅθεν τὰ μεγάλα κακὰ, λήμνια λέγεται.

Λήμνιον βλέπεις.

ἤγουν πυρῶδες. ἐπειδὰν τὸ λήμνιον πῦρ ἀπὸ τοῦ ὑφαίστου.

Λίθον ἕψεις.

ἐπὶ τῶν ἐπιχειρούντων τὰ ἀδύνατα ποιῆσαι.

Λιμὸς μηλιναῖος.

ἐπὶ τῶν χαλεπῶν. ἐν γὰρ τοῖς πελοποννησιακοῖς μετὰ πάντων νικίαν πέμψαντες ἀθηναῖοι, περὶ τοῦτον ἐπολιόρκησαν αὐτοὺς, ὥστε λιμῷ διαφθεῖραι. τῷ δὲ πρώτῳ ἔτει νικίας μῆλον προεστήσατο. οὐ μόνον μηχανῶν προσαγωγῇ, ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀπεστῶσαι αὐτῶν, πρώτη ὑποτελοῦσαν. μῆλος δὲ πόλις θεσσαλίας. οἱ δὲ μήλιοι πολιορκούμενοι λιμῷ ὑπὸ ἀθηναίων ἐπείσθησαν καὶ προδεδώκασιν ἑαυτούς.

Λίνου λίνῳ συνάπτεις.

ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν δρώντων.

Λιτύερσαν ᾄδειν ᾠδὴν ἄδεις.

Ἐπὶ τῶν ἀπροβούλων. Μένανδρος χαλκιδεῦσι ᾄδοντα λιτυέρσην ἀπ᾽ ἀρίστου τέως. Μίδου δὲ ἦν ὁ λιτυέρσης νόθος υἱός. κατοικῶν δὲ ἐν κελαιναῖς, τοὺς παρόντας ὑποδεχόμενος ἠνάγκαζε μετ᾽ αὐτοῦ θερίζειν. εἶτα ἀποκόπτων τὰς κεφαλὰς τὸ ἄλλο σῶμα συνείλει ἐν τοῖς δράγμασιν. εἰς τιμὴν δὲ τοῦ μίδου, θρηνικὸς ὕμνος ἐπ᾽ αὐτῷ συνετέθη.

Λιβυκὸν θηρίον.

Ἐπὶ τῶν πολυτρόπων. διὰ τὸ τὴν λιβύην πολύθηρον εἶναι.

Λοκρῶν συνθήματα. τάσσεται ἐπὶ τῶν παρασπονδούντων.

Λογγέως ὀξύτερον ὁρᾷ.

Ἐπὶ τῶν ὀξυδερκούντων λέγουσι τὸν λυγγέα, ὡς τὰ ὑπὸ γῆν ἑώρα. τοῦτο δὲ, ψεῦδος. τὸ δ᾽ ἀληθὲς ἔχει ὧδε. λυγγεὺς πρῶτος ἤρξατο μεταλλεύειν χαλκὸν καὶ ἄργυρον καὶ τὰ λοιπά. ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν, κατέλιπεν ἐκεῖσε. αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν τὸν σίδηρον καὶ χρυσόν. ἔλεγον οὖν οἱ ἄνθρωποι ὅτι

ποι, ὅτι λύγγος, καὶ ὑπὸ γῆν ὁρᾷ. καὶ καταδύων ἀργύρειον περιφέρει.

Λύκου πέρα ζητεῖς.

ἐπὶ τῶν ἀδυνάτων.

Λύκος ἐν μεσημβρίᾳ παίζει.

ἐπὶ τῶν ἀκολάστων. ὡσαύτως δὲ ἐπὶ τῶν ταῖς ὥραις ἀκολασταινόντων.

Λύκος ἀετὸν φεύγει.

ἐπὶ τῶν ἀφύκτων.

Λύκος ἔχανεν.

λέγουσι τὸν λύκον ἐπειδὰν ἁρπάσαι τι βούληται, κεχηνότα παραγίνεσθαι ἐπ' αὐτό. ὅταν οὖν μὴ λάβῃ ὃ προαιρεῖται, κατὰ κενοῦ αὐτὸν χανεῖν φασίν. ἐπὶ τῶν συνελπιζόντων χρήματα πείθεσθαι, διαμαρτανόντων δέ.

Λύκος περὶ φρέαρ χορεύει.

ἐπὶ τῶν πονούντων περί τι μάτην. καὶ ὅτι ἄπρακτα περίεισιν ὅταν διψήσῃ μὴ δυνάμενος πιεῖν. ἐπὰν διώκοντος αὐτοῦ τὸ διωκόμενον ἐμπέσῃ εἰς φρέαρ.

Λύκον εἶδες.

ἐπὶ τῶν αἰφνίδιον ἀχανῶν γινομένων.

Λύχνου ἀρθέντος, γυνὴ πᾶσα ἡ αὐτή ἐστι.

τῶν πρὸς τοὺς μαχικοὺς καὶ ἀκολάστους εἴρηται καλῶς. τὴν δὲ γαμετὴν δεῖ μάλιστα τοῦ φωτὸς ἀρθέντος εἶναι μὴ τὴν αὐτὴν ταῖς τυχούσαις γυναιξίν. ἀλλὰ φαίνεσθαι τοῦ σώματος μὴ βλεπομένου τὸ σῶφρον αὐτῆς, καὶ ἴδιον τῷ ἀνδρὶ καὶ τεταγμένον καὶ φιλόστοργον.

Λυκόπους εἶ.

τῶν τυράννων, οὕτως ἐκάλουν οἰκέτας. τοὺς γὰρ δορυφόρους τῶν τυράννων, οὕτως ἐκάλουν. διὰ τὸ τοὺς ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ βάλλειν. λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι κεκαλυμμένους. ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος. ἢ διὰ τὸ ἔχειν ἐπὶ τὴν ἀσπίδα ἐπίσημον λύκον.

Λύκου δεκάς.

ἐπὶ τῶν καλῶς δεκαζόντων. ἐπεὶ λῦκος ὁ ἥρως ἵδρυτο παρὰ τοῖς δικαστηρίοις. ἔνθα προσήδρευον οἱ συκοφάνται. ἀφώριστο δὲ αὐτῷ τριώβολον τῆς ἡμέρας.

Λυπηρότερον σταλαγμοῦ.

διὰ τὴν ἐν τῷ συνεχῶς καταστάζεσθαι

δυσχρέιαν λέγεται.

Λυσίζωνος γυνή.

ἐπὶ τῶν παρθένων τῶν πρώτως πλησιαζουσῶν ἀνδρί. αἱ γὰρ παρθένοι μέλλουσαι πρὸς μῖξιν ἔρχεσθαι, ἀνετίθεσαν τὰς παρθενικὰς αὐτῶν ζώνας τῇ ἀρτέμιδι.

Λυσικράτης ἕτερος.

ἐπὶ τῶν μελανοτρίχων. οὗτος γὰρ φαρμάκῳ τινὶ ἐμέλαινε τὰς ἑαυτοῦ τρίχας.

Λυσιστράτου πλοῦτον πλουτεῖς.

ἐπὶ τῶν λίαν πενήτων. οὗτος πένης ἦν λίαν.

Λύσιοι τελεταὶ καὶ λῦσαι ἀλλήλους.

ἐπὶ τῶν διὰ μέθην ἐλευθερωθέντων. οἱ γὰρ Βοιωτοὶ ἁλόντες ὑπὸ θρᾳκῶν καὶ φυγόντες εἰς τροφωνίου, κατ᾽ ὄναρ ἐκείνου διόνυσον ἔσεσθαι βοηθὸν φήσαντος, μεθύουσι ἐπιθέμενοι τοῖς θρᾳξί, καὶ ἐλύθησαν. οἱ καὶ διονύσου λυσίου ἱερὸν ἱδρύσαντο. ὡς ἡρακλείδης ὁ ποντικός. ἀριστοφάνης δὲ διὰ τὸ λυτρώσασθαι θηβαίους παρὰ ναξίων ἄμπελον.

Λύχνον ἐν μεσημβρίᾳ ἅπτεις.

ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ ποιούντων τι.

Λύδιον ἅρμα.

Ἐπὶ τῶν ὀριζόντων ἐν ἀγῶσι, καὶ πολὺ ἀπολιμπανομένων, ὁ γὰρ πέλοψ λύδιος ὤν, ἐνίκησε τὸν οἰνόμαον τῷ ἰδίῳ ἅρματι. καὶ ἐκ τούτου ἡ παροιμία. †παραλύδιον ἅρμα θέειν. ἡ παρὰ πρόθεσις, σημαίνει καὶ πλησιότητα, ὡς τὸ ἕζετο παρέζετο, καὶ τὴν πλείονα σχέσιν. ὡς τὸ ὁρμᾶ παρορμᾶ. σημαίνει καὶ τὴν ἐκτὸς σχέσιν τὴν ἔξω τοῦ πρέποντος. ὡς τὸ ἔννομος παράνομος. ὥς τε ὡς πεζοὶ ἦμεν ἡμεῖς παραλύδιον ἅρμα θέοντες. ἀντὶ τοῦ ἔξω καὶ μακρὰν τοῦ λυδικοῦ ἅρματος τρέχοντες κατὰ σύγκρισιν. τάχιστα γὰρ τὰ λύδια ἅρματα.

Μᾶλλον ὁ φρύξ. ἡ παροιμία ἐντεῦθεν. οἱ ἑπτὰ σοφοὶ ἐρωτώμενοι ὑπὸ κροίσου, τίς τῶν σοφῶν εὐδαιμονέστατος, οἱ μὲν, ἀπεκρίνοντο, τὰ ἄγρια ζῶα. ὑπὲρ γὰρ τῆς αὐτονομίας ἀποθνήσκει. οἱ δὲ, πελαργούς. δίχα γὰρ νόμου, τῇ φύσει τὸ δίκαιον ἔχουσι. σόλων δὲ, οὐδένα πρὸ τῆς τελευταίας ἡμέρας. παρεστὼς δὲ αἴσωπος ὁ λογοποιὸς φρὺξ τὸ γένος, τοσοῦτον εἶπεν ὑπερέχειν

τῶν

τῶν ἄλλων, ὅσον θάλασσα ποταμῶν. ἀκούσας δὲ κροῖσος, εἶπε. μᾶλλον ὁ φρύξ.

Μασχαλισθήσῃ ποτέ.

ἔθος ἦν τοῖς παλαιοῖς ὑπό τε φονευσάντων ἐξ ἐπιβουλῆς τινὰ, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρὸν. καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντες κρημνάναι ἐπὶ τραχήλου ἐπὶ τῶν μασχαλῶν διείραντας. ἀφ᾽ οὗ δὴ καὶ μασχαλίσματα προσηγόρευσαν αὐτὰ καὶ σοφοκλῆς ἐν ἠλέκτρᾳ καὶ τρωΐλῳ.

Μαχητὴς ἐπέμφθης οὐ κάγγελιαφόρος

ἐπὶ τῶν μὴ φυλαττόντων τὴν ἑαυτῶν τάξιν.

Μαρσύας κομπάζων ἐρίζει.

ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων. ὁ γὰρ μαρσύας, ἀγροῖκος ἦν. γίνεται δ᾽ οὕτω μουσικὸς. ἐμίσησεν ἀθηνᾶ τοὺς αὐλοὺς. οὐκ ὀλίγον γὰρ ἀφῃροῦντο τοῦ κάλλους. ἡ πηγὴ τὴν εἰκόνα δεξαμένη, τὸ συμβὰν ἐδίδαξεν. καὶ οὕτω ἐῤῥιμμένων τῶν αὐλῶν, ὁ μαρσύας ὑφίσταται. προσάπτει οὖν τοῖς χείλεσιν ἀνελὼν αὐτοὺς ὁ ποιμήν.

οἱ δὲ. ἦδον θεία δυνάμει καὶ ἄκοντος τοῦ χρωμένου. τέχνην ὁ μαρσύας ἐνόμισεν εἶναι τὴν δύναμιν. καὶ χωρεῖ μὲν ἐπὶ μουσῶν. χωρεῖ δὲ κατὰ ἀπόλλωνος. λέγων, οὐ δὲ θέλειν εἶναι λοιπὸν, ἂν μὴ πλεονεκτήσῃ τοῦ δαίμονος. ἐν ἐκείνῃ τῇ φιλονεικίᾳ νικᾶται. καὶ τὸ δέρμα μετὰ πληγὰς ἐκδύεται. εἶδον ἐγὼ ποταμὸν ἐν φρυγίᾳ. μαρσύας ὄνομα τῷ ποταμῷ. καὶ ἔλεγον οἱ φρύγες, ὅτι τὸ ῥεῦμα τοῦτο, ἐξ αἵματος ἐστὶ τοῦ μαρσύου.

Μεγάρεως δάκρυα.

ἐπεὶ πλεῖστα ἐν τῇ μεγαρίδι σκόροδα φύεται. εἴρηται ἐπὶ τῶν προσποιητῶς δακρυόντων.

Μήτε βοῦς ποτὲ βοτάνην.

ἐπὶ βραδέων.

Μήτε γραῦ ἐμόν σε παῖδα φιλήσοντα.

ὁμοία τῇ προτέρᾳ.

Μεδίμνῳ ἀπομετρῶ παρὰ τοῦ πατρὸς ἀργύριον.

ἐπὶ τῶν μεγάλην καὶ ἀθρόαν προσδοκώντων ὠφέλειαν.

Μέγας κηληκτὰς ἐν μικρῷ πράγματι.

ἐπὶ

ἐπὶ τῶν πλουτησάντων τέχνη οὐ τιμία. ψάλτου γάρ τινος δυσημερήσαντος, Εὐδαμίδας ἔφη πρὸς τὸν ἐρωτήσαντα, ποδαπός τις αὐτῷ δοκεῖ εἶναι.

Μελανίωνος σωφρονέστερος.

ἐπὶ τῶν πάνυ σωφρόνων. ἦν δὲ ὁ Μελανίων, σώφρων.

Μελαμπύγων τύχοις.

μελάμπυγοι ἐγένοντο περπόροι Λίμνης υἱοί. ἀκολασταινόντων δὲ αὐτῶν, πολλὰ ἡ μήτηρ ἔλεγε φυλάσσεσθαι, μή ποτε ἐμπέσωσιν εἰς δασύπρωκτον. ἐμπεσόντες οὖν εἰς Ἡρακλέα τὸν ἀνωφόρῳ, ἐδέθησαν. εἶτα ὁρῶν αὐτοὺς γελῶντας καὶ κατακύπτοντας, ἐπυνθάνετο τὴν αἰτίαν. οἱ δὲ ἔλεγον, ὅτι λόγιον ἦν τὸ τῆς μητρός, ἐμπεσεῖσθαι ἡμᾶς εἰς δασύπρωκτον. καὶ γελάσαντα τὸν Ἡρακλέα, ἀφεῖναι αὐτοὺς τῶν δεσμῶν.

Μέχρι τούτου κρείσσων σου ἐστὶν ὁ πατήρ,
μέχρις ἂν καὶ σὺ γεννήσῃς.

Κλεόμβροτος ὁ Παυσανίου τοῦτ' ἔφη πρὸς ξένον διαφερόμενον περὶ ἀρετῆς πρὸς τὸν αὐτοῦ πατέρα.

Μεταβλητότερος μήτρας.

περὶ μήτρας τῆς ἐρισίχθονος φασὶν ὡς ὁ ποιητής, ὅτι βούλοιτο ἀλλάσσειν τὴν ἰδέαν ὁ δὲ μῦθος, καταγέλαστος. πῶς γὰρ εἰκὸς ἐκ κόρης γίνεσθαι βοῦν, καὶ αὖθις κύνα. ἢ ὄρνεον. τὸ δ᾽ ἀληθὲς ἔχει ὧδε. ἐρισίχθων ἦν ἀνὴρ θετταλὸς καὶ διαφθείρας τὰ χρήματα, πένης ἐγένετο. ἦν δὲ θυγάτηρ αὐτῷ καλὴ καὶ ὡραία, μήτρα ὄνομα. ὅς τις δὲ εἶδεν αὐτὴν, ἤρα ταύτης. ἀργυρίῳ μὲν οὖν οἱ τότε ἄνθρωποι, οὐκ ἐμνηστεύοντο. ἐδίδωσαν δὲ οἱ μὲν, ἵππους. οἱ δὲ βοῦς. τινὲς δὲ πρόβατα. ἢ ὃ ἂν ἐθέλῃ ἡ μήτρα. ἔλεγον οὖν οἱ θετταλοὶ ὁρῶντες ἀθροιζόμενον τῷ ἐρισίχθονι τὸν βίον, ὅτι ἐγένετο ἡ μήτρα αὐτῷ, καὶ ἵππος. καὶ βοῦς. καὶ τὰ ἄλλα. ἀφ᾽ ὧν ὁ μῦθος.

Μεθυσοκότταβος ἐγένου.

λάταξ, χαλκῆ φιάλη. ἣν μεταξὺ τῶν δείπνου ἐτίθεσαν, οἴνου πεπληρωμένην. εἶτα εἰς μικρὰ ποτήρια ἐμβαλόντες οἶνον, εἰς ταύτην ἀφ᾽ ὕψους ἐρρίπτουν, ὥστε ψόφον ἐκτελέσαι. ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν, ἐκ τούτου οὖν μεθυσο-

βυσοκόταβος.

Μελίτηροι κυνῶν.

ἐπὶ τῶν ἐπὶ τέρψει καλῶς τρεφομένων. τῶν γὰρ κυνῶν, οἱ μὲν, ἰχνευταί. οἱ δὲ, ἐμ[illegible] τοῖς θηρείοις χωροῦσιν. οἱ δὲ, ἐπὶ φυλακῇ τῶν κτημάτων, οἰκουροί. οἱ δὲ, ἐπὶ τέρψει.

Μερὶς οὐ πνίξ.

τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων, καὶ ὑπὸ τούτων ἐκείνων πνιγομένων, ἐπεὶ ἄρ αὐτοῖς βοηθεῖν οὐκ ἠδύναντο, ἐπενοήθη ὁ μερισμός. καὶ ἕκαστος ἑκάστῳ τὸ ἴσον λαμβάνων, ἐπεφώνει. μερὶς οὐ πνίξ. ἢ καὶ οὕτως. μερὶς οὐ πνιγή.

Μετὰ λέσβιον ᾠδόν.

παρὰ κρατίνῳ παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων. οἱ γὰρ λακεδαιμόνιοι τοὺς λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν, χρησμὸς ἐγένετο, τὸν λέσβιον ᾠδὸν μεταπέμπεσθαι. οἱ δ᾽ ἐξ ἀντίσσης τέρπανδρον ἐφ᾽ αἵματι φεύγοντα μεταπεμψάμενοι, ἤκουσαν αὐτοῦ ἐν τοῖς συσιτίοις καὶ κατεστάλησαν. ἢ διότι λακεδαιμόνιοι

στασιαζόντων, μετεπέμψαντο ἐκ λέσβου τὸν μουσικὸν τέρπανδρον. ὃς ἥρμοσεν αὐτῶν τὰς ψυχὰς καὶ τὴν στάσιν ἔπαυσεν. εἴ ποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινὸς ἤκουον οἱ λακεδαιμόνιοι, ἔλεγον, μετὰ λέσβιον ᾠδόν.

Μετὰ μουσῶν.

ἐπὶ τοῦ πεπαιδευμένου ἢ κοινῇ ἐπὶ τοῦ συνόντος ἀπαιδεύτου τοῖς πεπαιδευμένοις. καθ' ὑπόκεισιν δὲ ἀναγνωστέον.

Μετὰ γραμμάτων ἐφεσίων παλαίεις.

ἐπὶ τῶν ἐπῳδαῖς ἰσχυόντων. ταῦτα δὲ ἦσαν ἐπῳδαί τινες δυσπαρακολούθητοι. ἃς καὶ κροῖσος ἐπὶ τῆς πυρᾶς εἰπεῖν. καὶ ἐν ὀλυμπίοις μιλησίου καὶ ἐφεσίου παλαιόντων. τὸν μιλήσιον μὴ δύνασθαι παλαίειν, διὰ τὸ τὸν ἕτερον παρὰ τῷ ἀστραγάλῳ ἔχειν τὰ ἐφέσια γράμματα. φανεροῦ δὲ γενομένου καὶ λυθέντων αὐτῷ, τριάκοντα ἑξῆς πεσεῖν τὸν ἐφέσιον.

Μετὰ πόλεμον, ταραχὴ ἢ συμμαχία.

καὶ μετὰ μαραθῶνα, μάχη. ἐπὶ τῶν μετὰ ὑπόθεσιν τινὰ ἐπικίνδυνον, ἑτέρας ἐντυχόντων οὐκ ἐλάττονι τῆς προτέρας.

Μέτρῳ ὕδωρ πίνοντες. ἀμετρὶ δὲ μᾶζαν ἔδοντες. οὗτος ὁ στίχος, εἰς παροιμίαν περιέστη κεν ἔκ τινος χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς συβαρείταις. ὑβρισταὶ γὰρ ὄντες καὶ ἀμετροπόται, ἀπώλοντο ὑπὸ τῶν κροτωνιατῶν. τοῖς οὖν διαφυγοῦσιν αὐτῶν, οὕτως ἐχρήσθη.

Μέλιτος μυελός.

ἐπὶ τῶν ἄγαν ἡδέων.

Μέγα τὸ στόμα τοῦ ἐνιαυτοῦ.

οἷον, πολλὴ παῤῥησία πάντων, εὐφορίας γενομένης.

Μητραγύρτου θάνατος.

οὗτος ἐλθὼν εἰς τὴν ἀττικὴν, ἐμύει τὰς γυναῖκας τῇ μητρὶ τῶν θεῶν, ὡς ἐκεῖνοί φασιν. οἱ δὲ ἀθηναῖοι ἀπέκτειναν αὐτὸν, ἐμβαλόντες εἰς βάραθρον ἐπὶ κεφαλήν. λοιμοῦ δὲ γενομένου, ἔλαβον χρησμὸν ἱλάσασθαι τὸν πεφονευμένον, καὶ διὰ τοῦτο ᾠκοδόμησαν βουλευτήριον ἐν ᾧ ἀνεῖλον τὸν μητραγύρτην. καὶ περιφράττοντες αὐτὸ, καθιέρωσαν τῇ μητρὶ τῶν θεῶν, ἀναστήσαντες καὶ ἀνδριάντα τοῦ μητραγύρτου. ἐχρῶντο δὲ τῷ μητρῴῳ ἀρχείῳ καὶ νομοφυλακείῳ, καταχώσαντες

καὶ τὸ βάραθρον.

Μὴ ἀποδύεσθαι γῆμαι πρὶν τελευτήσαντ᾽ ἴδης.

ἐπὶ τῶν ἀκαίρως καὶ ῥαθύμως ποιούντων τι. Εὐμένης γὰρ ἐπιβουλευθεὶς ὑπὸ Περσέως ἔδοξε τεθνάναι. τῆς δὲ φήμης εἰς Πέργαμον κομισθείσης. Ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ περιθέμενος τὸ διάδημα, καὶ τὴν γυναῖκα γήμας, ἐβασίλευσε. πυθόμενος δὲ προσιόντα ζῶντα τὸν ἀδελφὸν, ἀπήντησεν ὥσπερ εἰώθει μετὰ τῶν σωματοφυλάκων δοράτιον ἔχων. ὁ δὲ Εὐμένης φιλοφρόνως ἀσπασάμενος αὐτὸν, καὶ πρὸς τὸ οὖς εἰπὼν τοῦτο, οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον οὔτ᾽ εἶπεν ὕποπτον, οὔτ᾽ ἐποίησεν. ἀλλὰ καὶ τελευτῶν ἐκείνῳ τὴν γυναῖκα καὶ τὴν βασίλειαν ἀπέλιπεν.

Μὴ κακούργει τὴν μουσικήν.

ἀντὶ τοῦ μὴ ἀσύμφωνα λέγε. Ἐμπρεπὴς εἶπε τοῦτο. Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα γε ἐκτεμών.

Μὴ νεκρῶν θήκας κίνει.

ἐπὶ τῶν φιλαργύρων.

Μὴ ὢν

Μὴ ὢν σύρος, μὴ σύριζε.

ἐπὶ τῶν παρ' ἀξίαν τι ποιούντων.

Μὴ δίκην τράπεζα.

ἐπὶ τῶν εὐπόρων. ἀβροδίαιτοι γὰρ οἱ Μῆδοι.

Μὴ κίνει κακὸν εὖ κείμενον.

ἐπὶ τῶν παρακινούντων τινὰ ἐπὶ σφετέρᾳ βλάβῃ.

Μὴ δὲ μέλι μηδὲ μελίσσας.

ἐπὶ τῶν βουλομένων παθεῖν τι ἀπευκταῖον μετὰ ἀγαθοῦ.

Μὴ πρὸς λέοντα δορκὰς ἅπτωμαι μάχης.

ἐπὶ τῶν κατ' ἰσχὺν ἀνίσων.

Μὴ κίνει καμαρεῖναν.

λίμνη ἦν. ἣν μετοχετεῦσαι βουλόμενοι ἐχρήσαντο τῷ θεῷ. ὁ δὲ εἶπε, μὴ κίνει καμαρεῖναν, οἱ δὲ παρακούσαντες ἐβλάβησαν.

Μὴ παιδὶ μάχαιραν.

μὴ τοῖς ἀπείροις ἐγχειρίζειν πράγματα.

Μῆλα ἑσπερίδων μοι ἐδωρήσω.

ἐπὶ τῶν πολυτελείᾳ χαριζόντων λέγου-

σιμὸν ὅτι γυναῖκες τινὲς ἦσαν ἑσπερίτιδες. ταύταις δ' ἦν μῆλα χρυσᾶ ὥσπερ μηλέας. ἃ ἐφύλαττε δράκων. ἐφ' ἃ μῆλα καὶ ἡρακλῆς ἐστρατεύσατο. ἔχει δὲ ἡ ἀλήθεια ὧδε. ἑσπερος ἦν ἀνὴρ μιλήσιος. ὃς ᾤκει ἐν τῇ καρίᾳ. καὶ ἔχε θυγατέρας δύο. αἳ ἐκαλοῦντο ἑσπερίτιδες. τούτῳ δὲ ἦσαν ὄϊς καλαὶ καὶ ἔγκαρποι, οἷαι καὶ νῦν αἱ ἐν μιλήτῳ. ὥσπερ τούτῳ δὴ ὀνομάζονται χρυσαῖ. κάλλιστον γὰρ ὁ χρυσός. ἦσαν δὲ ἐκεῖναι κάλλισται. μῆλα δὲ δὴ καλεῖται τὰ πρόβατα. ταῦτα ἰδὼν ὁ ἡρακλῆς βοσκόμενα περὶ τὴν θάλατταν, περιελάσας ἐνέθετο εἰς τὴν ναῦν. καὶ τὸν ποιμένα αὐτῶν ὀνόματι δράκοντα, εἰσήγαγεν εἰς οἶκον, οὐκέτι ζῶντος τοῦ ἑσπέρου, ἀλλὰ τῶν παίδων αὐτοῦ. ἔλεγον οὖν οἱ ἄνθρωποι, ἐθεασάμεθα χρυσᾶ μῆλα, ἃ ἡρακλῆς ἤγαγεν ἐξ ἑσπερίδων, τὸν φύλακα ἀποκτείνας δράκοντα.

Μὴ θεᾶς ἄνθρωπον ὡς ἀθάμας.

λείπει τὸ ἐλοῦ.

ἐπὶ τῶν αἱρουμένων. τῶν κρειττόνων τὰ ἥττω ἀθάμας ἐκ νεφέλης δύο παῖδας ἔχε.

φρίξον

φρῖξον καὶ ἕλλην. ἀφεὶς οὖν τὴν νεφέλην
θεὰν οὖσαν, θνητῇ γυναικὶ ἐμίγη. ζηλοτυ-
πήσασα οὖν ἡ νεφέλη, ἀπέπτη εἰς οὐρανόν.
τὴν τοῦ ἀνδρὸς χώραν αὐχμῷ ἐκόλαζε. πέ-
πομφεν οὖν θεωροὺς εἰς ἀπόλλω ἀθάμας, δεῆ-
σθαι περὶ τοῦ αὐχμοῦ. ἡ οὖν τούτου γυνὴ θέ-
λουσα φρῖξον καὶ ἕλλην ἀπολωλέναι, πέ-
πεικε διὰ δώρων τοὺς θεωρούς, εἰπεῖν ἀθάμαν
τα, ὡς οὐκ ἂν ἄλλως παύσασθαι τὸν αὐχμὸν
ἔχρησεν ὁ πύθιος, εἰ μὴ τοὺς τῆς νεφέλης θύ-
σειε παῖδας. ἀκούσας οὖν ἀθάμας, μετα-
πέμπεσθαι τοὺς παῖδας ἐκ τῶν ποιμνίων. εἷς
οὖν κριὸς ἀνθρωπίνῃ φωνῇ χρησάμενος, λέ-
γει φρίξῳ καὶ ἕλλῃ περὶ τῆς σφαγῆς. φευγόν-
των οὖν τούτων μετὰ τοῦ κριοῦ, ἡ μὲν ἕλλη
ἐν τῷ περαιοῦσθαι τὸν ἐν ἀβύδῳ πορθμόν,
ἀπεπνίγη πεσοῦσα ἀπὸ τοῦ κριοῦ. ὅθεν καὶ
ἀπ' ἐκείνης ἑλλήσποντος κέκληται. φρίξος
δὲ ἐποχούμενος τῷ κριῷ, εἰς τὴν τῶν κόλχων
γῆν περισώζεται. ἔνθα καὶ τὸν κριὸν ὃς ὑ-
πὸ τῶν θεῶν χρυσόμαλλος γέγονε, θύει τῷ ἄ-
ρει, ἢ τῷ ἑρμῇ. καὶ κατοικήσας αὐτόθι, τοὔ-
νομα καταλέλοιπε τῷ τόπῳ. ἐκ τούτου γοῦν

ἡ φρυγία οὕτως ἐκλήθη. ἀθάμαντα δὲ ἡ νε-
φέλη δίκην αὐτῇ δώσειν διὰ τοὺς παῖδας
πεποίηκε. προσαχθεὶς οὖν στεφανηφορῶν ἐν
τῷ βωμῷ τοῦ διὸς σφαγιζόμενος, ὑπὸ τοῦ
ἡρακλέους σέσωστο. οὕτω γὰρ σοφοκλῆς ἐν δρά
ματι πεποίηκε κατὰ τὸν μῦθον. τὸ δὲ ἀληθὲς
οὕτως ἔχει. ἀθάμας ὁ αἰόλου τοῦ ἕλληνος, ἐβα
σίλευσε τῆς φθίας. ἦν δὲ αὐτῷ ἀνὴρ ἐπίτρο
πος τῶν χρημάτων. ὃν μάλιστα πιστὸν ἡγεῖτο
ὀνόματι κριόν. ὃς αἰσθόμενος τὸν ἀθάμαν-
τα ἀποκτεῖναι ἐθέλοντα τὸν φρίξον. δηλοῖ
τοῦτο τῷ φρίξῳ. ὁ δὲ φρίξος κατεσκεύασε
ναῦν. καὶ ἐνέθετο ἐν αὐτῇ χρήματα πάμπολ
λα ἐν ᾗ νηὶ καὶ ἡ μητὴρ πέλοπος. ὄνομα δ'
αὐτῇ, ἠώς. καὶ αὕτη ἐκ τῶν αὐτοῦ χρημάτων εἰ-
κόνα ποιησαμένη χρυσῆν, ἐνέθετο. σὺν τοῖς
χρήμασι γοῦν καὶ φρίξον καὶ ἕλλην ὁ κριὸς
ἐν ταύτῃ ἐνθεὶς, ᾤχετο ἀπιών. ἡ μὲν οὖν ἕλλη
κατὰ τὸν πλοῦν ἀθυμήσασα, ἀπέθανεν. ἐ-
ξῆς καὶ ἑλλήσποντος ἐκλήθη. αὐτοὶ δὲ ἀφι-
κόμενοι εἰς τὸν φάσον, κατοικοῦσι αὐτοῦ
καὶ γαμεῖ φρίξος τὴν τοῦ τῶν κόλχων βα
σιλέως θυγατέρα αἰήτου. δοὺς ἔδνα τού-

τῳ τὸ

τῷ τῆς χρυσῆς εἰκόνα τῆς νοῦς. ἀλλ' οὐχὶ δόρμα λεοντοῦ. οὕτως ἡ ἀλήθεια ἔχει.

Μία χελιδὼν ἔαρ οὐ ποιεῖ.

Βούλεται δὲ εἰπεῖν, μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν.

Μίδου χρήματα.

Ἐπὶ τῶν ἄγαν πλουσίων. οὗτος ὁ μίδας σφόδρα πλούσιος ἦν. ᾔτησε δὲ, ὥς φασιν, τοὺς θεοὺς, ὅτι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γενέσθαι. καὶ τυχὼν τῆς εὐχῆς, λιμαγχονηθεὶς, ἀπέθανεν. ὅσα γὰρ ἐλάμβανεν, εἰς χρυσὸν μετέβαλλετο. μυθεύοντες δὲ αὐτὸν, ὦτα ὄνου ἔχειν. ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν, οἷα περ ὄνος. τὸ δὲ ἀληθὲς, ὅτι πολλοὺς εἶχεν ὠτακουστὰς, ὥς πάντ' ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ' αὐτοῦ χώρᾳ λεγόμενα καὶ πραττόμενα.

Μία λόχμη, δύο ἐριθακοὺς οὐ τρέφει.

Ἐπὶ τῶν ἐκ μικροῦ τινὸς κερδαίνειν σπουδαζόντων. ἐριθακὸς δὲ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.

Μικρὸς, ἡλίκος μόλων.

Ἐπὶ τῶν πάνυ βραχέων.

Μικρὸν τὸ ὀβολοῦ τίμιον,

λέγεται ἐπὶ τῶν πονηρῶν.

Μικρόθεν ἡ ἀγαθὴ ἄκανθα φαίνεται.

ἐπὶ τῶν ἐκ πρώτης ἡλικίας φαινομένων ἀγαθῶν γενέσθαι.

Μόσχος ἄδων Βοιώτιον.

μόσχος φαῦλος κιθαρῳδός. πολλὰ ἀπηδὼν εἰ ἄδων. τὸ δὲ Βοιώτιον οὕτω καλούμενον εὗρε τέρπανδρος. ὥσπερ καὶ ὁ φρύγιος.

Μολὼν λάβε.

λεωνίδας ξέρξου γράψαντος αὐτῷ, πέμψον τὰ ὅπλα, ἀντέγραψε τοῦτο. δηλῶν ὅτι ἑκὼν εἶναι οὐ δώσει.

Μόναι λάκαιναι ἄνδρας τίκτουσι.

παρόσον ἐκεῖναι γενναιοτάτους παῖδας τίκτουσι.

Μυκώνειος γείτων.

αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ σμικρότητι, καὶ σμικροπρεπεία. παρὰ τὴν σμικρότητα τῆς νήσου τῆς μύκωνος καὶ εὐτέλειαν.

Μύδας ὀφθαλμοὺς ἰνδικὸς δοκιμάζει.

ἔστι δὲ

ἔστι δὲ ὁ μύδιας λίθος ἐν ἰνδίᾳ. διττὰ ἀφιεὶς τὰ σέλα. τοῖς μὲν πονήρως ἔχουσι τῶν ὀμμάτων δριμὺ καὶ πυρῶδες καὶ ἐπιεικῶς φλογωπόν. τοῖς δὲ κατὰ φύσιν, καὶ ῥωστικὸν καὶ σωτήριον.

Μῦς ἔδηξε Βρασίδαν ἐν ἰσχάσι.

ὅτι δεῖ καὶ τὸ μικρὸν φυλάττεσθαι.

Μύλος πάντ᾽ ἀκούει.

ἐπὶ τῶν προσποιουμένων μὲν μὴ ἀκούειν. ἀκουόντων δέ.

Μυκωνίων δίκην ἐπεισπέπαικεν εἰς τὰ συμπόσια.

διὰ γὰρ τὸ πένεσθαι διεβέβληντο ἐπὶ αἰσχρότητι. εἴρηται δὲ ἐπὶ τῶν ἀκλήτως εἰσιόντων εἰς τὰ συμπόσια.

Μυρρινῶν ἀρχῆς ἐπιθυμεῖς.

μυρρίναις γὰρ στεφανοῦνται οἱ ἄρχοντες.

Μῦς λευκός.

ἐπὶ τῶν ἀκράτων περὶ τὰ ἀφροδίσια. ἡ παροιμία εἴρηται. οἱ γὰρ κατοικίδιοι μύες, ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται. καὶ μάλιστα οἱ λευκοί. οὗτοι δὲ εἰσὶ θήλεις.

Μῦς δακὼν παῖδ᾽ ἀπέφυγε.

παρόσον καὶ μικροὶ τοὺς μεγάλους τύπτουσιν ἐνίοτε.

Μῦς πίσσης γεύεται.

ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων.

Μῦς εἰς τρώγλην οὐ χωρῶν, κολόκυντ᾽ ἀνέφερεν. ἐπὶ τῶν ἑαυτοῖς μὴ δυναμένων, καὶ ἄλλοις θελόντων βοηθῆσαι.

Μωρότερος μωρύχου.

ἐπὶ τῶν εὐήθες τι διαπραττομένων. οὗτος γὰρ ὁ μώρυχος τὰ ἔνδον ἀφεὶς, ἔξω τῆς οἰκίας ἐκάθητο. λέγεται δὲ παρὰ σικελιώταις μώρυχος καὶ ὁ διόνυσος διὰ τὸ μολύνεσθαι αὐτοῦ τὸ πρόσωπον ἐν τρυγί.

Μωρὸς σιωπᾶν οὐ δύναται.

Μωρότερος κορύβου.

καὶ οὗτος ἀρχαῖος μωρός.

Μωμήσεται μᾶλλον ἢ μιμήσεται.

ἐπὶ τῶν ἀπαιδεύτων.

Ναῦς ἱκετεύει πέτραν.

ἐπὶ τῶν σφόδρα ἀναισθήτων.

Ναῦς παλαιὰ,

πόντον οὐχὶ πλεύσει.

Νάνος ὢν, ὕπεικε.

ἐπὶ τῶν μικρῶν. οὕτω νεοκλείδης καὶ ἀριστοτέλης. ὁ δὲ θεόφραστος, ὡς νάνον καὶ αἰδοῖον ἔχοντα μέγαν. οἱ γοῦν νάνοι, μέγα αἰδοῖον ἔχουσιν.

Νέα χελιδών.

ἐπὶ τῶν ἐξαπατώντων τινάς.

Νεοκλείδου κλεπτίστερος.

οὗτος τυφλὸς ὢν, τοὺς βλέποντας ὑπερῃρηκόντιζεν.

Νεκρῷ μῦθον εἰς οὖς ἔλεγεν.

ἐπὶ τοῦ μὴ ἐπαϊόντων, καὶ ἐπὶ τῶν ἀναισθήτων.

Νέους φίλους ποιῶν λάθε,

τῶν παλαιῶν μὴ ἐπιλανθάνου.

Νεκρὸς κεῖται βοΐων.

ἐπὶ τῶν ἀπόρων, εὐπορεῖν δὲ προσποιουμένων.

Νεφέλας ξαίνεις.

ἐπὶ τῶν ἀδυνάτων.

Νέμεσις δέ γε παρὰ πόδας βαίνει.

παρόσον μέτεισι ταχέως ὁ δαίμων τοὺς ἡμαρτηκότας.

Νεοττοῦ οὐδέν μοι δίδως,

ἐπὶ τῶν ἀμεταδότων. νεοττὸς γὰρ λέγεται ἐκ τοῦ ᾠοῦ λέκιθος καὶ τὸ πυῤῥόν. οὕτω Μένανδρος καὶ Κλέαρχος. ὃ διαδίδοται ἀρχῆ ὑπὸ τὸν ὑμένα λευκόν. ἐν τούτῳ γὰρ τὸ σπέρμα καὶ οὐ κέντῳ καλουμένῳ νεοττῷ. διεψεύσθησαν γὰρ οἱ πρώτως τοῦτο φήσαντες. καὶ ἔστι τὸ ὠχρὸν, περίττωμα τοῦ σπέρματος. ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ Χρύσιππος ἐν τῷ περὶ χρησμῶν. ὄναρ γάρ τινα φασὶ θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ κρέμασθαι ᾠὰ, προσαναθέσθαι ὀνειροκρίτῃ. τὸν δὲ, εἰπεῖν ὀρύττων, θησαυρὸν εὑρήσεις ἐπὶ τὸν τόπον ἐκεῖνον. εὑρόντα δὲ σάμνιον ἐν ᾧ ἀργύρειον ἦν καὶ χρυσίον, ἐνεγκεῖν τι τοῦ ἀργυρείου τῷ μάντει. τὸν δὲ μάντιν εἰπεῖν. τοῦ δὲ νεοττοῦ οὐδέν μοι δίδως, καὶ δίφιλος κέχρηται. ᾠὸν δ' ἐν αὐτῇ διέτρεφε νεοττία.

Νιόβης πάθη.

ἐπὶ τῶν μέγιστα παθόντων κακά. αὕτη γὰρ ζῶσα λίθος ἐγένετο ἐπὶ τῷ τύμβῳ τῶν παίδων. ὅστις δὲ πείθεται ἐκ λίθου γενέσθαι ἄνθρωπον, ἢ ἐξ ἀνθρώπων λίθον, εὐήθης ἐστί.

τὸ δ᾽ ἀληθὲς ἔχει ὧδε. νιόβη ἀποθανόντων τῶν ἑαυτῆς παίδων, ποιήσασα ἑαυτῇ εἰκόνα λιθίνην, ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων. καὶ ἡμεῖς ἐθεασάμεθα αὐτὴν οἷα καὶ λέγεται.

Νοῦς οὐκ ἔνι κενταύροισιν.

ἐπὶ τῶν ἀδυνάτων ἢ ἀνοήτων.

Νυμφίου βίον ὑμεῖς ζῆτε.

ἐπὶ τῶν εὐτυχῶς ζώντων. οἱ γὰρ γαμοῦντες ἐστεφάνωντο σισυμβρίοις καὶ φυτοῖς τισι πρὸς τὰς τῶν γάμων ἡμέρας.

Νυρεῖ ἐγχεῶ.

ἐπὶ τῶν ποιούντων τι εἰς τινὰ, λίαν ἐπίπονον.

Νῷ πείθου.

ὁμοία τῷ θεῷ ἕπου.

Υρὸν εἰς ἀκόνην.

ἐπὶ τῶν προσηκόντων τισί.

ὕλον ἀγκύλον, οὐδέ ποτ᾽ ὀρθόν.

ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθὰ ἀπεργάσασθαι.

Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κοδύρεται.

ἀντὶ τοῦ θεοῦ βουλομένου, καὶ τὰ κακὰ με-

θίσεται εἰς τέρψιν.

Σύμβολος ἀγαθὸς ἢ καὶ φαῦλος.

ἐπὶ τῶν οἰωνιζομένων διὰ συμβόλων. συμβόλους δὲ ἐκάλουν, τοὺς διὰ τῶν πρώτων οἰωνισμοὺς, ἀντετίθεντο δ' οὗτοι δὴ μηνί. καὶ σύμβολον ὄρνιθα φασίν. ἐπειδὴ συμβόλους ἤγουν σημεῖα ἐποίουν, τοὺς πρῶτα συναντῶντας.

Ξυνὸς ἐνυάλιος. καὶ τὸν κτανέοντα κατέκτα.

ἐπὶ τῶν ἐπίσης κινδυνευόντων.

Ξυρεῖ ἐν χρῷ.

ἐπὶ τῶν ποιούντων τι εἰς τινὰ λίαν ἐπίπονον.

Ὀψιὸς κόρινθος.

ἐπὶ πάλαι μὲν εὖ πραγησάντων, ὕστερον δὲ, οὐ καλῶς ἀπαλλαξάντων.

Ὁ δεῦ παρούσης, τὴν ἄδηλον ζητεῖς.

ἐπὶ καταλιμπανόντων τὰ δῆλα καὶ ζητούντων τὰ ἀφανῆ.

Ὁ ἔχων πολὺ πέπερι, τίθησι καὶ λαχάνοις.

ἐπὶ τῶν ἀφθόνως βιούντων.

Οἴκοι τὰ μιλήσια, μὴ γὰρ ἐν Θάδε.

ἐπὶ

ἐπὶ τῶν ὅπου μὴ προσήκει τὴν τρυφὴν ἐπιδεικνυμένων. μιλήσιος γὰρ παρὰ λακεδαιμονίοις δημηγορῶν, καὶ τὴν οἴκοι τρυφὴν ἐπαινῶν, ἤκουσε ταῦτα.

Οἴκοι γενοίμην.

ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.

Οἴκοθεν ὁ μάρτυς.

ἐπὶ τῶν καθ' ἑαυτῶν φερόντων μάρτυρας.

Ὄϊς τὴν μάχαιραν.

ἐπὶ τῶν ἀλυσιτελῶς σφίσιν αὐτοῖς χρωμένων.

Οἶνος καὶ παῖδες ἀληθεῖς.

ἐπὶ τῶν ἁπλοϊζομένων καὶ τὴν ἀλήθειαν λεγόντων.

Οἰναῖοι τὴν χαράδραν.

ἐπὶ τῶν ἐπ' ὠφελείᾳ παρακαλουμένων, βλαπτόντων δέ. τῶν γὰρ οἰναίων παροχετευόντων τὴν χαράδραν, ἐπιρραγὲν ὕδωρ πολὺ, κατέκλυσε πάντας.

Οἱ ἴωνες, ἐλεύθεροι μὲν, κακοί. δοῦλοι ἀγαθοί. ὅτι χρὴ τοὺς ὑπὸ χεῖρα μὴ ἐλευθεροῦν, θρασεῖς ὄντας καὶ μᾶλλον.

Οἷός τοι πέπνυται.

τοὶ δὲ, σκιαὶ ἀΐσσουσιν. ἐπὶ τῶν ἄγαν φρονίμων λέγεται.

Ὁ κνὶψ ἐν χώρᾳ.

ἐπὶ τῶν ταχέως μεταπιπτόντων. κνὶψ γὰρ θηρίον ξυλοφάγον.

Ὀκνὲ κυάμους κατάβρεξον.

εἰ φάγοις ὠμοὺς, οὐδέ ποτε ἐπιλάθοιο.
ἐπὶ τῶν πάνυ ῥαθύμων.

Ὁ καρπάθιος τὸν λαγών.

ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων. οἱ γὰρ καρπάθιοι νῆσον οἰκοῦντες, καὶ λαγωοὺς οὐκ ἔχοντες ἐπηγάγοντο. οἳ πολλοὶ γενόμενοι, ἐλυμαίνοντο τοὺς καρπούς.

Ὁ κλεομένης τῆς κοίτης ὑπερέχει.

ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων.

Ὅλῳ ποδί.

ἐπὶ τῶν ταχέως τι ποιούντων. ὁμοία τῇ ὅλῳ ῥυτῆρι.

Ὁμολώϊος Ζεύς.

ἐπὶ τῶν ὁμονοούντων. ἀπὸ ὁμολώας προφήτιδος τῆς ἐνυέως, ἣν προφῆτιν εἰς δελφοὺς πεμφθῆναι, ὡς ἀριστοφάνης. ἱστορεῖ δὲ ἐν τῇ δωδεκά-

δεκάτη τῆς συναγωγῆς, διὰ τὸ προακολουθοῦσι τὸ ὁμονοητικὸν καὶ εἰρηνικὸν, ὁμόλογον λέγεσθαι. ἔστι δὲ καὶ δημήτρης ὁμολωΐα ἐν θήβαις.

ὁ μὲν λόγος θαυμαστός. ὁ δὲ λέγων
ἄπιστος.

ἐπὶ τῶν ἐπαγγελλομένων μείζω ἢ δύνανται.

ὁ μὲν ἑκάτερος, ἀμφότερος.

ὁ δὲ ἀμφότερος, οὐδέτερος. τούτοιν ὁ μὲν εἷς ἦν ἔμφρων καὶ πρακτικὸς ὁ ἑκάτερος. ἅτερος δὲ εὐήθης καὶ ἀβέλτερος ὁ ἀμφότερος τούτῳ ἰδὼν ὁ φίλιππος εἴρηκε τὴν προοιμίαν.

ὀμφάλη ἡρακλῆς λατρεύει.

ἐπὶ τῶν ἀπίστων. λόγος ἦν μάταιος ὅτι ὁ ἡρακλῆς ἐλάτρευε τῇ ὀμφάλῃ, καίτοι γε ἔξον ἡρακλεῖ κἀκείνης καὶ τῶν ὑπαρχόντων αὐτῇ δεσπόζειν. τὸ δ' ἀληθὲς, τοιόνδε τι. ὀμφάλη ἦν ἰορδάνου θυγάτηρ λυδῶν βασιλέως. αὕτη ἀκούσασα τὴν ἰσχὺν ἡρακλέους προσεποιήθη ἐρᾶν αὐτοῦ. ἡρακλῆς πλησιάσας ἔρωτι ἑάλω αὐτῆς. γεννᾷ δὲ ἐξ αὐτῆς υἱὸν λαομήδην. ἡδόμενος δ' αὐτῇ, ἐποίει ὅ,τι προστάττει ἡ ὀμφάλη. οἱ δὲ εὐήθεις ὑ-

πέλαβεν λατρεύειν αὐτὸν αὐτῇ.

Ὄνος ἄγει μυστήρια.

ἐπὶ τῶν παρ' ἀξίαν τι πραττόντων. τοῖς γὰρ μυστηρίοις ἐξ ἄστεος εἰς Ἐλευσῖνα διὰ τῶν ὄνων ἔφερον τὰ εἰς τὴν χρείαν. ὅθεν ἐστὶν ἡ παροιμία. διὰ τὸ κακοπαθεῖν μάλιστα τοὺς ὄνους ἀχθοφοροῦντας. ὡς ἂν οὖν ὅμοια πάσχων, διὰ τὸ πιέζεσθαι τῷ ἐπικειμένῳ ἄχθει, τὴν παροιμίαν μίγνυσιν ὁ ἀριστοφάνης.

Ὃν ἡ τύχη μέλανα γράψει, τοῦτον
ὁ πᾶς χρόνος οὐ δύναται
λευκᾶναι.

ἐπὶ τῶν δυστυχῶν.

Ὃν οὐ τύπτει λόγος, οὐδὲ ῥάβδος.

ἐπὶ τῶν μὴ πειθομένων τοῖς εἰσηγουμένοις τὰ βέλτιστα.

Ὄνος εἰς ἄχυρα.

ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων, καὶ τούτοις ἀπολαυστικῶς χρωμένων.

Ὄνος ἐν μελίτταις.

ἐπὶ τῶν κακοῖς περιπεσόντων.

Ὄνος λύρας ἀκούων, κινεῖ τὰ ὦτα.

ἐπὶ

ἐπὶ τῶν ἀπαιδεύτων. ἢ ἐπὶ τῶν συγκατατεθειμένων, μὴ δὲ ἐπαινούντων.

Ὄνος ἀκροᾶται σάλπιγγος.

ὁμοία τῇ προτέρᾳ.

Ὄνος εἰς κυμαίαν.

ἐπὶ τῶν παραδόξων καὶ σπανίων.

Ὄνος ὕεται.

ἐπὶ τῶν μὴ ἐπιστρεφομένων.

Ὄνου θανάτους.

ἐπὶ τῶν ἀλλόκοτα διηγουμένων.

Ὄνου παρακύψεως.

ὄνου παρακύψαντος, ὄρνιθες πτοηθεῖσαι, ἱστὸν ἀνέῤῥηξαν. ὁ δὲ δεσπότης τοῦ ἱστοῦ τὸν τοῦ ὄνου δεσπότην ἐνεκάλεσεν.

Ὄνου πόκαι.

ἐπὶ τῶν ἀνηνύτων. καὶ μὴ ὄντων λέγεται.

Ὄνου σκιά.

ἐπὶ τῶν μὴ ἐχόντων πλούσια καὶ λαμπρά, καὶ ἀρκουμένων ἐξ ἀνάγκης τοῖς μικροῖς τε καὶ εὐτελέσιν. ἢ ἐπὶ τῶν ἕνεκεν εὐτελεστάτου τινὸς ἐριζόντων. ἐν μέγαρα ἀπιὼν τὶς, ἐμισθώσατο ὄνον. τοῦ τὸν καῦμα κατέλαβε καὶ ὑπὸ τὴν σκιὰν

τοῦ ὄνου ἀναπαύεσθαι δέον ὠνήθη. οὐ παρελῶν γὰρ οὔτε δένδρον, οὔτ' ἄλλο τοιοῦτον οὐδὲν τὸν δὲ ὀνηλάτην κωλύειν, φάσκοντα, ὄνον αὐτῷ μεμισθωκέναι μόνον, οὐ μὴν καὶ σκίαν. ὥς τε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι.

Ὁ παῖς τὸν κρύσταλλον.

ἐπὶ τῶν μήτε κατέχειν, μήτε μεθεῖναι βουλομένων.

Ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προσραπτέον τὴν ἀλωπεκῆν.

ὅτι δεῖ ποιεῖν ἕκαστον κατὰ δύναμιν.

Ὅπου αἱ ἔλαφοι τὰ κέρατα ἀποβάλλουσιν.

ἐπὶ τῶν δρυμώδεις τὰς διατριβὰς ποιουμένων. αἱ γὰρ ἔλαφοι, ἐν δυσβάτοις καὶ τραχέσι τόποις, τὰ κέρατα ἀποβάλλουσιν.

Ὅρκοις ἄνδρας.

ἀστραγάλοις δὲ, παῖδας ἐξαπατῶσιν.

Ὀρέστης ἐν ὄρεσιν διαιτώμενος.

ἐπὶ τῶν λωποδυτούντων. οὗτος ὁ ὀρέστης προσποιούμενος μανίαν, τοὺς παριόντας ἀ...λυεν. ἦν γὰρ λωποδύτης. ἢ κατὰ προσωνομασίαν.

νομασίαν. ἀντὶ τοῦ μαινόμενος ὡς ὀρέστης.

Ὄρνιθες ζητεῖς, ἀνέμους θηρεύσεις.

ἐπὶ τῶν μάτην κοπιώντων.

Ὄρος ὄρει οὐ μίγνυται.

ἄνθρωπος δὲ ἀνθρώπῳ. ἐπὶ τῶν ἀσυμπαθῶς πρός τινας διακειμένων.

Ὀστράκου περιστροφή.

ἐπὶ τῶν ῥαδίως εἰς φυγὴν ὁρμημένων. καὶ πλάτων, ὀστράκου μεταπεσόντος ἵεται φυγὴ μεταβαλών.

Ὃς αὐτὸς αὑτὸν οὐκ ἔχει, σάμον θέλει.

ἐπὶ τῶν τὰ οἰκεῖα μὴ δυναμένων σῶσαι. ἄλλα δὲ ζητούντων. λακεδαιμόνιοι γὰρ ἀθηναίων ἀξιούντων, ὅτε παρέδωκαν τὸ ἄστυ σάμον αὐτοῖς μόνην ἐᾶσαι, εἶπον. ὅταν αὑτῶν οὐκ ἦτε, τότε καὶ ἄλλους ἔχειν ζητεῖτε

Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται.

ἐκείνου ἐστὶ δοῦλος κἂν ἐλεύθερος μόλῃ.

Ὃς δὲ κόρινθον ἔναιε,

χόλου κρατέειν πυρίανδρος.

Ὃς κύνα τρέφει ἀλλότριον. ὁ λῖνος αὐτῷ μόνος λείπεται.

ἐπὶ τῶν ματαίως πονούντων περὶ ἐκεῖνα, οἷς οὐ μόνον κερδανοῦσιν, ἀλλὰ καὶ ἀποβαλοῦσιν.

Ὁ Ταντάλου λίθος ὑπὲρ κεφαλῆς ταλαντεύεται.

ἀντὶ τοῦ φόβος ἡμᾶς ἔχει διηνεκής.

Οὐδ' ἀπὸ γῆς ὤνησεν.

ἀντὶ τοῦ ἐλαχίστου.

Οὐδ' ἂν ἐξηκεστίδης εὕροι τὴν εὐθεῖαν ὁδόν.

ἐθρυλλεῖτο ὁ ἐξηκεστίδης, ὡς πᾶσαν ὁδὸν γινώσκων, διὰ τὴν χρόνιον πλάνην.

Οὐ δεῖ μιμεῖσθαι τὸν πασιφάης τρόπον.

παρόσσον οὐ δεῖ τὰς γυναῖκας ἐξοκέλλειν εἰς ἀλλοκότους ἔρωτας. μυθεύεται ὅτι ἠράσθη ταύρου νεμομένου ἡ πασιφάη, δαίδαλον δὲ ποιῆσαι βοῦν ξυλίνην, καὶ ἐγκλεῖσαι τὴν πασιφάην εἰς αὐτήν. οὕτω τε τὸν ταῦρον ἐπιβάντα, μιγῆναι τῇ γυναικί. τὴν δὲ, κυῆσαι παῖδα, ἔχοντα τὸ σῶμα ἀνδρὸς κεφαλὴν δὲ βοός. ἐγὼ δὲ, οὔφημι τοῦτο γενέσθαι. πρῶτον μὲν γὰρ,

ἀδύνα

ἀδύνατον ἐρασθῆναι ζῶον ἕτερον ἑτέρου.
οὐ γὰρ δυνατὸν κύνα καὶ πίθηκον λύκον τε
καὶ ὕαιναν ἀλλήλοις συμμιγῆναι. οὐδὲ βού-
βαλον ἐλάφῳ. ἑτερογενῆ γάρ εἰσι. ταῦρος
δὲ οὐ δοκεῖ μοι βοῒ ξυλίνῃ ἀναμιχθῆναι. οὐκ
ἂν δὲ ἠνέχετο καὶ γυνὴ ταύρου ἐπιβαίνον-
τος. οὐδὲ φορεῖν ἠδύνατο γυνὴ ἔμβρυον ἔ-
χοντα κέρατα. τὸ δ' ἀληθὲς ἔχει οὕτως.
μίνωα φασὶν ἀλγοῦντα τὰ αἰδοῖα, θερα-
πευθῆναι ὑπὸ κεῖδος τοῦ πανδίονος. κατ'
ἐκεῖνον δὲ τὸν τῆς θεραπείας καιρὸν, ἠκολού-
θει τῷ μίνωϊ νεανίας εὐειδὴς ὀνόματι ταῦ-
ρος. οὗ πασιφάη ἐρῶντι ἁλοῦσα, μίγνυται
αὐτῷ καὶ γεννᾷ παῖδα. μίνως δ' ἐπιλογισά-
μενος τὸν χρόνον τῆς ἀλγηδόνος τῶν αἰ-
δοίων καὶ γνοὺς ὡς οὐκ ἔστιν ἐξ αὐτοῦ ὁ παῖς
διὰ τὸ μὴ συγκοιμᾶσθαι αὐτὸν τῇ πασι-
φάῃ, ἔγνω ὡς ἐκ τοῦ ταύρου ἐστὶ τὸ κυηθὲν.
ἀποκτεῖναι μὲν οὐκ ἤθελε τὸν παῖδα διὰ
τὸ δοκεῖν ἀδελφὸν εἶναι τῶν ἑαυτοῦ παίδων.
ἀποπέμπει δὲ αὐτοὺς εἰς ὄρος, ὡς γὰρ θερά-
ποντος μοῖρα ὑπάρχῃ τῆς ποιμέσιν ὁ δὲ
οὐχ ὑπετάσσετο τοῖς βουκόλοις. πυθόμενος

δὲ ὁ μίνως τὰ κατ' αὐτὴν, ἐκέλευσεν αὐτὸν παρὰ τῶν πολιτῶν κρατηθῆναι. καὶ εἰ μὲν ἕποιτο, λελυμένον ἐλθεῖν. εἰ δὲ μὴ, δέσμιον. αἰσθόμενος δὲ ὁ νεανίας, ἀφίσατο εἰς τὰ ὄρη. καὶ ἁρπάζων βοσκήματα, οὕτω διέζη. πέμψαντος δὲ μίνωος καὶ ἕτερον ὄχλον πλείονα, διὰ τὸ συλλαβεῖν αὐτὸν, ὁ νεανίας ὄρυγμα ποιήσας βαθὺ, καθεῖρξεν ἑαυτὸν εἰς ἐκεῖνο, εἴποτε παρὰ τοῦ μίνωος ἐγκρατὴς τις ἀδικῶν, παρὰ τὸν μινώταυρον ἐπέμπετο, ὡς αὐτὸν τιμωρήσαιτο. λαβὼν οὖν ποτὲ μίνως τὸν θησέα πολέμιον, ἐπὶ τὸν μινώταυρον ἀπέστειλεν, ὡς ἀποθανούμενον. γνοῦσα δὲ τοῦτο ἡ ἀριάδνη, προεισπέμπει ξίφος τῷ θησεῖ εἰς τὴν εἱρκτὴν, δι' οὗ ἀναιρεῖ τὸν μινώταυρον.

Οὐ δὲ πυρφόρος.

λείπει τὸ ἀπελείφθη. ἐπὶ τῶν πανωλεθρία φθαρέντων. πυρφόρους δὲ ἔλεγον, τοὺς ἱερέας, τοὺς ἐπιβώμιον πῦρ ἀνάπτοντας. ἐν τοῖς οὖν πολέμοις, εἰώθασι τῶν ἱερέων οἱ νενικηκότες φείδεσθαι. ἐπὶ δὲ τῶν παντελῶς ἡττηθέντων καὶ συμπατηθέντων ἐν τῷ πολέμῳ

λέμῳ εἰώθασιν ὑπερβολῇ χρώμενοι, οὕτω λέγειν. ὅτι οὕτως ἀπώλοντο, ὡς τὲ οὐδὲ πυρφόρος, τοῦτον δὲ εἰπεῖν ἱερεὺς, ἀπελείφθη τῷ στρατῷ. οἷον, οὐδὲ ὁ τὸ πῦρ οἴσων εἰς τὴν πόλιν. καθάπερ εἰ ἐλέγομεν, οὐδὲ σκηνοφύλαξ, ἤ τις τῶν παραπλησίων.

Οὐ παρ' ἕνα τὰ ἀπάρτα.

εἷς γὰρ ἀποθανὼν, τί βλάβος τῇ πατρίδι.

Οὐκ ἐᾷ με καθεύδειν οὐδὲ ῥαθυμεῖν τὸ μιλτιάδου τρόπαιον.

ἐπὶ τῶν διὰ μίμησιν τῶν καλῶν, ἀποβαλλομένων τὴν ἑαυτῶν κακίαν. θεμιστοκλῆς γὰρ ἔτι μειράκιον ὢν, ἐν πότοις ἐκυλινδεῖτο γυναιξίν. ἐπεὶ δὲ μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν μαραθῶνι τοὺς βαρβάρους, οὐκέτι ἦν ἐντυχεῖν ἀτακτοῦντι θεμιστοκλεῖ, πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν, ἔλεγε τοῦτο.

Οὐ δύναται φωκίωνι φίλῳ χρῆσθαι καὶ κόλακι.

ἐπὶ τῶν ἀκριβῶν καὶ ἀδόλως φιλούντων.

Οὐδὲ ἡρακλῆς πρὸς δύο.

τοὺς γὰρ μολιονίδας ἔφυγε. δύων δὲ ἐν δυ

τέρα τῆς δευτέρας συντάξεως, ἡρακλαῖα τὸν ἰδαῖον, δάκτυλον καταλέξαντα ὀλυμπία, πρὸς δύο διαπυκτεύσαντα ἡττηθῆναι.

Οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέας.

Οὐδεὶς κομήτης,

ὅς τις οὐ περαίνεται.

Οὐδ᾽ ἴκταρ βαλεῖν ἔχεις.

ἐπὶ τῶν παραβαλλομένων τισὶ, καὶ μὴ ἐξομοιουμένων μὴ δὲ βραχύ. ἴκταρ γάρ ἐστι τὸ ἐγγύς.

Οὐδὲν ἱερόν.

ἡρακλῆς εἶπεν ἀδώνιδος ἰδὼν ξόανον. ὡς τῶν εὐεργετησάντων τοὺς ἀνθρώπους μόνων ὀφειλόντων τιμᾶσθαι. ἢ ὅτι οἱ καταφυγόντες εἰς αὐτὸ δοῦλοι, ἄδειαν οὐκ εἶχον.

Οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος.

ἐπὶ τῶν ἀπράκτων.

Οὐδὲν πρὸς τὸν διόνυσον.

ἐπὶ τῶν μὴ τὰ προσήκοντα τοῖς ὑποκειμένοις φλυαρούντων. ἐπιγένους τοῦ σικυωνίου τραγῳδίαν εἰς αὐτὸν ποιήσαν-

τος. ἐπεφώνησαν τινὲς τοῦτο. ὅθεν ἡ παροιμία. βέλτιον δὲ οὕτως. τὸ πρόσθεν εἰς τὸν διόνυσον γράφοντες τούτοις ἠγωνίζοντο, ἅπερ καὶ σατυρικὰ ἐλέγοντο. ὕστερον δὲ μεταβάντες εἰς τὸ τραγωδίας γράφειν, κατὰ μικρὸν εἰς μύθους καὶ ἱστορίας ἐτράπησαν. μηκέτι τοῦ θεοῦ μνημονευόντων. ὅθεν καὶ ἐπεφώνησαν. καὶ χαμαιλέων ἐν τῷ περὶ θέσπιδος τὰ παραπλήσια ἱστορεῖ. θεαίτητος ἐν τῷ περὶ παροιμίας, παῤῥάσιον φησὶ τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ κορινθίοις, ποιῆσαι διόνυσον κάλλιστον. τοὺς δὲ ὁρῶντας τά τε τῶν ἀγωνιστῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ παῤῥασίου διόνυσον, ἐπιφωνεῖν, τὶ πρὸς τὸν διόνυσον.

Οὐκ ἐνδέουσι χρῆ τῷ δέοντι.

ἐπὶ τῶν ἀλόγως τι ποιούντων.

Οὐδ' ἐν σελίνοις.

ἐπὶ δὲ τῶν μὴ δὲ τὴν ἀρχὴν ἐφθακότων. ἀπὸ τῶν εἰς τοὺς κήπους ἰόντων. ἐπὶ γὰρ τὰ ἄκρα τοὺς λεγομένους παρακήπους, σέλινα.

καὶ τὰ λάχανα κατάφυτον. βούλεται οὖν λέγειν ἡ παροιμία, ὅπως οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος. καθάπερ δὲ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν.

Οὐδὲ κύων παύσαιτ᾽ ἂν,
ἅπαξ σκυτοτραγεῖν μαθών. ὅτι τὸ ἔθος σχεδὸν ἀμετάβλητον.

Οὐδὲν φρονεῖ δίκαιον ἀστυκὸς ἀνήρ.
ἐπὶ τῶν ἀδίκων.

Οὐ τὸν στρατηγόν, ἀλλὰ τὸν βοῶντα.
Τιμόθεος εἶπε. τῶν ῥητόρων προαγόντων τὸν Χάρητα, καὶ ἀξιούντων τοιοῦτον εἶναι τὸν Ἀθηναίων στρατηγόν.

Οὐ δι᾽ ὅλον ἀηδόνες ὑπνώσσουσιν.
ἐπὶ τῶν ἀγρυπνούντων. παρ᾽ ὅλον ἡ ἀηδὼν ἀγρυπνεῖ διὰ τὸν Ἴτυν. μᾶλλον δὲ διὰ φιλίαν.

Οὐ γνώσῃ ἰὼν εἰς Ἀρβέλας.
ἐπὶ τῶν δυσεξαπατήτων.

Οὐδὲν Ὀρέστης πρὸς ἡμᾶς καὶ Πυλάδης.
ἐφ᾽ ἑταίροιν, ἄγαν ἀλληλοφιλούντοιν. τούτω γὰρ ἐπὶ φιλίᾳ διαβεβόηνται. ὁμοία τῇ οὐδὲν πρὸς ἡμᾶς Μολιονίδαι,

Οὔτι χθὲς τὸ χρυσίον,

οὔτε

οὔτε σήμερον τὸ θήλειον ἐξέπληξε τὸν φοινίκιον. περὶ τῶν κρειττόνων χρημάτων καὶ γενναιοτάτων.

Οὐκ ἔνεστι συκοφάντου δήγματος.

ἐπὶ τῶν ἀνηκέστων. λείπει φάρμακον.

Οὐκ ἐπαινεθείης οὐδὲ ἐν περιδείπνοις.

ἐπὶ τῶν μηδενὸς ἀξίων. εἰώθασι γὰρ ἐν τοῖς περιδείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, εἰ καὶ φαῦλος ᾖ.

Οὐ παντὸς ἀνδρὸς ἐς κόρινθον ἔσθ᾽ ὁ πλοῦς.

διὰ τὸ τὰς ἑταίρας ὑπὲρ τῶν ἑλλήνων εὔξασθαι φασὶν ἐν τῷ μεγάλῳ πολέμῳ τῇ ἀφροδίτῃ. ἢ διὰ τὸ δυσείσβολον εἶναι τὸν πλοῦν ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι. καὶ τῶν πλουσίων μόνον ὁ πλοῦς.

Οὐχ ὁ τόπος τὸν ἄνδρα, ἀλλ᾽ ὁ ἀνὴρ αὐτὸν ἔντιμον ποιεῖ.

ὅτι ἡ ἀρετή, ἀλλ᾽ οὐχ ἡ πατρὶς τὸν γενναῖον τιμᾷ.

Οὔτε ῥώμη προσεῖται σκηπίωνος ἐσθλὸς, οὔτε σκηπίων ζήσεται τῆς πόλεως πεσούσης.

ἀντὶ τῶν ὑπὲρ πατρίδος ᾑρημένων ἀποθανεῖν.

Οὐ τύεσσι καλλιππίδας οὐδ' εἰκηλίκτας.

ἐπὶ μίμων καὶ ὑποκριτῶν σοβαρῶν. οὕτω γὰρ λακεδαιμόνιοι τοὺς μίμους καλοῦσιν. καλλιππίδης γὰρ ὁ τῶν τραγῳδοποιῶν ὑποκριτὴς, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς ἕλλησι, καὶ σπουδαζόμενος ὑπὸ πάντων, εἰπὼν πρὸς βασιλέα τὸν ἀγησίλαον, οὐκ ἐπιγινώσκεις με ὦ βασιλεῦ, ἤκουσε παρὰ ἀγησιλάου τουτί.

Οὐ φρόντις ἱπποκλείδῃ.

ὁ τισάνδρου ἱπποκλείδης μέλλων γαμεῖν ἀγαρίστην τὴν κλεισθένους τοῦ σικυωνίου θυγατέρα τοῦ τυράννου, ἐν αὐτῇ τῇ τῶν γάμων ἡμέρᾳ, ἀπωρχήσατο τὸ προπέδιον. μεταβουλευσαμένου δὲ τοῦ κλεισθένους, καὶ μεγακλεῖ τῷ ἀλκμαίωνος τὴν θυγατέρα δόντος, πρὸς δὲ τὸν ἱπποκλείδην φανερῶς εἰπόντος, ὅτι ἀπώρχηται τὸν γάμον τὸν ἀγαρίστης, ὑποτυχὼν ἔφη, οὐ φροντὶς ἱπποκλείδῃ.

Οὐ παρὰ βωμὸν δεῖ τὰς ἐπινοίας.

ὅτι πρὸ τῶν πραγμάτων δεῖ βουλεύε-

σθαι

ται, καὶ μὴ ἐν αὐτοῖς τοῖς πράγμασιν. ὥσ-
περ καὶ τὰ ἱερὰ προσάγοντες, οὐ μετὰ τὸ θῦ-
σαι βουλεύονται.

Οὐκ αὖ αὖθις ἀλώπηξ

λείπεται τὸ ἁλώσεται. αὕτη γὰρ ἅπαξ δια-
φυγοῦσα τὰς πάσας, οὐ δεύτερον ἁλίσκεται.

Οὔθ' ὕεται, οὔθ' ἡλιοῦται.

ἐπὶ τῶν ἀναισθήτων. ἢ ἐπὶ τῶν ἔξω πάσης
φροντίδος ἑστώτων.

Οὐ πόλεμον ἀγγέλλεις.

ἐπὶ τῶν τὰ ἀγαθὰ ἀγγελλόντων.

Οὐδ' ἴσασι ὅσῳ πλέον ἥμισυ παντὸς

ὅτι οἱ τῶν πλειόνων ἐπιθυμοῦντες καὶ ἃ ἔχου-
σι ἀποβάλλουσι.

Ὁ φεύγων μύλον, ἄλφιτα φεύγει.

ἐπὶ τῶν ἑκουσίως ἀποβαλλομένων τὰ σφί-
σι πρόσφορα.

Ὀψ' ἦλθες. ἀλλ' ἐπὶ κολωνὸν ἵεσο.

ἐπὶ τῶν εἰς τοὺς καιροὺς ὑβριζόντων.

Πάλαι ποτ' ἦσαν ἄλκιμοι μιλήσιοι.

ἐπὶ τῶν πρὶν μὲν εὐπραγούντων,
ὕστερον δὲ δυσπραξάντων. τάττεται δὲ ἐπὶ τῶν

τῶν πρότερον μὲν χρωμένων πισὶν ὅπως δή ποτε, ὕστερον δὲ μὴ φροντιζόντων αὐτῶν. ὡς ὁ γὰρ ἀριστοφάνους νέος μεμίμηκε τῇ γραΐ. ἤδη, πάλαι πότ᾽ ἐμοι ἄκουε χρησίμη ὑπῆρχες διὰ τὴν χρείαν. νῦν δ᾽ οὐκέτι σου φροντίδα ποιοῦμαι. ἡ δὲ τῶν μιλησίων ἱστορία, τοιαύτη. πρῶτοι κᾶρες καὶ μιλήσιοι μισθοῦ ξυμμαχεῖν ἤρξαντο. καὶ εἴπου πόλεως ἀνδρήγνυτο, τοὺς ἄνδρας συμμάχους μισθῷ μετεπέμποντο. καὶ πρώτους αὐτοὺς ἁπάντων ταῖς συῤῥαγαῖς τῶν πολεμίων, τοῖς πολεμοῦσιν ἀντέταττον. καὶ εἴτι λυπηρὸν ἐκ τοῦ πολέμου συγκύρσειε, πρώτοις αὐτοῖς ἐγινώσκετο. ὅθεν φασὶ, τὸ, τίω δέ μιν ἐν καρὸς αἴσῃ. τοιοῦτοι μὲν ἦσαν πρὶν οἱ κᾶρες καὶ οἱ μιλήσιοι. ἐπὶ δαρείου δὲ τοῦ ὑστάσπεως ὡς ἱστορεῖ ἡρόδοτος περὶ ἱστιαίου καὶ ἀρισταγόρου τῶν μιλησίων ἀναπεισθέντες οὐ μόνον ἐκστῆναι περσῶν, ἀλλὰ καὶ ἀντάραι πολέμοις, ἄρδην ὑπὸ περσῶν κατεκόπησαν. καὶ κατεσφάγη ἡ μίλητος. καὶ οἱ περιλειφθέντες αὐτῶν γυναιξὶν ὁμοῦ καὶ παισὶν ἀχθέντες εἰς τὴν περσίδα αἰχμάλωτοι, περὶ τὴν ἐρυ-

θρὰν

θρὰν θάλασσαν μετῳκίσθησαν περὶ Ἰῶνα πόλιν περσῶν ἀμείβω τῇ κλήσει. καὶ οὕτως ὕστερον ἡ παροιμία ἐῤῥήθη.

Πάντα θεῖν ἐλαύνεται.

ἐπὶ τῶν εὐπόρων ἀναχωροῦσιν. ἀριστοφάνης ταγηνισταῖς. ἀπέδωκαν δὲ, οἱ μὲν, παιδιᾶς εἶδός τι, εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι, ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν, ἢ ἀπαλλάττεσθαι.

Πάντα κάλων σείειν.

ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. προῆκται δὲ, ἀπὸ τῶν τὰ ἄρμενα χαλώντων.

Πάναβρος σαρδανάπολις.

ἐπὶ τῶν τρυφώντων καὶ πολυόλβων.

Παρὰ τὰ δεινὰ φρονιμώτερος.

ὁμοία τῇ ἐξ ὧν ἔπαθες ἔμαθες.

Πάντα λίθον κινεῖν.

πολυκράτει τῷ θηβαίῳ χρησμὸς ἐξέπεσε πριαμένῳ τόπον, ἔνθα μαρδόνιος ἐσκήνωσεν. ὅτε πέρσαι ἔφυγον. καὶ εὗρε χρυσόν. οἱ δὲ, εἰρῆσθαί φασιν, ἀπὸ τῶν θηρευόντων.

Πᾶν μοι τὸ χρέος κρόμμυα εἴη, καὶ τὸ τίμημα σκόροδα.

ἐπὶ τῶν ὀλίγα ὀφειλόντων καὶ ἀποτελῆ.

Πάντα ὀκτώ.

οἱ μὲν, Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς, πρὸς ταῖς ὑπ' αὐτοῦ Στησιχορείαις πύλαις λεγομέναις. καὶ τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας. οἱ δὲ, ὅτι ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων, ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας. καὶ ὀκτὼ μέρη τὴν πόλιν.

Παρὰ σφυρὸν παχεῖα μισήτη γυνή.

ἐπὶ τῶν ἀνικάνων τῇ μισγητίᾳ. μισγήτη γάρ τις ἐστὶ καὶ μισήτη. καὶ ὁ Κρατῖνός που τοῦτ' ἔφη. μισῆται δὲ γυναῖκες ὀλίσβωσι χρήσονται. πάντες Ἕλληνες ἐπίστανται τὰ καλὰ, χρῶνται δ' αὐτοῖς μόνοι Λακεδαιμόνιοι.

Παρὰ κωφὸν ἀποπαρδεῖν.

ἐπὶ τῶν ἀναισθήτων.

Παρακλέους φειδωλότερος.

ἐπὶ τῶν πλουσίων καὶ φειδωλῶν. οὗτος γὰρ ἐξ ὅτου περιεγένετο πλούσιος ἢ καὶ ἐγεννήθη, οὐκ ἐλούσατο. Ἀριστοφάνης, ἢ ἐπὶ ῥυπώντων καὶ αὐχμηρῶν.

Πάτρας

Πάτταλος παττάλῳ προσκρούεται.

ὅταν τὸ κακὸν ὑπὸ κακοῦ θεραπεύεται.

Παύσωνος πτωχότερος.

οὗτος ζωγράφος ἦν. καὶ ἐπὶ πενίᾳ διατεθρύλληται.

Παμφίλου νοσφισμός.

ἐπὶ τῶν κλεπτόντων. ὁ γὰρ πάμφιλος δημαγωγὸς ἦν ἀθηναίοις. καὶ ἐνοσφίζετο τινὰ τῶν δημοσίων χρημάτων. ἐπεὶ οὖν ἔμελλε φωραθήσεσθαι, καὶ δώσειν δίκην, ὡς κεκλοφὼς τὰ δημόσια, κωμῳδεῖται ὑπὸ τῶν ποιητῶν. εἶχε δὲ οὗτος ὁ πάμφιλος καί τινα κόλακα παράσιτον Βελονοπώλην καλούμενον, ὃς ἔμελλε συναπολαύσειν τῷ παμφίλῳ τῶν κακῶν.

Πάνθ' ὑπὸ μιᾶς μύκωνος.

ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων.

Παναθηναίων κατόπιν.

ἐπὶ τῶν βραδυνόντων. παναθήναια ἀθήνησι ἑορτὴ ἐπὶ τῷ ὑπὸ θησέως γενομένῳ συνοικισμῷ. πρῶτον, ὑπὲρ ἐριχθονίου τοῦ ἡφαίστου καὶ τῆς ἀθηνᾶς. ὕστερον δὲ ὑπὸ θησέως τοῦ συναγαγόντος τοὺς δήμους εἰς ἄστυ.

γίνεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς, ἴσθμια. οὐ πρεσβύτερος. καὶ ἀγένειος. καὶ ἀνήρ. τῷ δὲ νικῶντι δίδοται ἆθλον, ἔλαιον ἀμφορεῦσι. καὶ ὁ νικῶν στεφανοῦται, ἐλαίᾳ πλεκτῇ.

Παρθένοις ἓξ ἐφάμιλλος.

ἐπὶ τῶν εὐψύχων καὶ σωφρόνων. τὰς ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον. καὶ ἐτίμησαν δὲ, τὸν ἀριθμὸν ἕξ. πρεσβυτάτη μὲν, ἐκαλεῖτο, πρωτογένεια. δευτέρα δὲ πανδώρα. τρίτη, πρόκρις. δ΄ κρέουσα. πέμπτη ὠρείθεια. ἕκτη χθονία. τούτων λέγεται πρωτογένειαν καὶ πανδώραν δοῦναι ἑαυτὰς σφαγιάσαι ὑπὲρ τῆς χώρας, στρατιᾶς ἐλθούσης ἐκ Βοιωτίας. ἐσφαγιάσθησαν δὲ ἐν τῷ ὑακίνθῳ καλουμένῳ πάγῳ ὑπὲρ τῶν σφενδονίων. διὸ καὶ οὕτω καλοῦνται, παρθένοι ὑακινθίδες. καθάπερ μαρτυρεῖ φανόδημος. ἄθος κόρης ἱππομανοῦς. ἐπὶ τῶν διαφθειρομένων. καὶ ἀφόρητα δῆθεν ὑφισταμένων. οὗτος γὰρ τοῦ γένους τῶν κοδριτῶν ὤν, ὃς καὶ τελευταῖος ἐβασίλευσε, τὴν θυγατέρα καθεῖρξεν ἐν χωρίῳ τινὶ μεθ᾽ ἵππου μαινομένου. διό τι λα-

θραίως

θραίᾳ μίξει τὴν παρθενίαν αὐτῆς ἐλυμήνατο. καὶ ὁ ἵππος τὴν κόρην βίαν ἐποιήσατο. ἀφ' οὗ πάριππος καὶ κόρη ὁ τόπος ἐν ᾧ τὸ πάθος ὑπέστη καλεῖται.

Πατακίωνος συκοφαντικώτερος.

οὗτος ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος, καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν πολιτῶν, τέλος φωραθεὶς ἀνῃρέθη.

Πεισάνδρου δειλότερος.

Πελαργικοὶ νόμοι καὶ ἀντιπελάργωσις, ἡ διὰ τὸ τρέφειν τοὺς γονεῖς.

οὕτως ἀριστοφάνης. ὁ δὲ ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον, ἀληθῆ. ὁμοίως δὲ αὐτοῖς φησὶν ποιεῖν καὶ τοὺς ἀερόποδας. διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι. κατωτέρω δὲ ποτάμιον ἵππον. δηλοῦντες, ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ. οἱ γὰρ πελαργοὶ δικαιοπραγεῖς ὄντες, ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς γεγηρακότας. οἱ δὲ ἱπποπόταμοι, ζῶα ἀδικώτατα.

Πελληναῖος χιτών.

ἐπὶ τῶν παλαιὰ φορούντων ἱμάτια.

Πέρδικος ἱερόν.

ἐπὶ τῶν ἀνδρείων. εὐπαλάμῳ γὰρ ἐγένοντο παῖδες δαίδαλος καὶ πέρδιξ. ἧς υἱὸς κάλλως. ὃν φθονήσας ὁ δαίδαλος τῆς τέχνης, ἔρριψεν αὐτὸν κατὰ τῆς ἀκροπόλεως. ἐφ' ᾧ ἡ πέρδιξ ἑαυτὴν ἀνήρτησεν. ἀθηναῖοι δὲ αὐτὴν ἐτίμησαν. σοφοκλῆς δὲ ἐν κωμικοῖς, τὸν ὑπὸ δαιδάλου ἀναιρεθέντα, πέρδικα εἶναι τοὔνομα φησί.

Περιαγειρόμενος φύλλοις βάλλεται καὶ ἄνθεσι.

ἐπὶ τῶν νικώντων ἐν ἀγῶσι. περιαγειρομένων δὲ ἔλεγον τοὺς ἀθλητάς. οἳ μετὰ τὴν νίκην περιαγόμενοι καὶ περιπορευόμενοι, ἐλάμβανον οἱ μὲν ζώνας. οἱ δὲ χιτῶνας. οἱ δὲ πετάσους. οἱ δὲ ἄλλα γε ἄλλα. ὅθεν σιμωνίδης περὶ ἀετύλου φησὶν οὕτως. τίς δὴ τῶν νῦν τοσάδε πετάλοισι μύρτων ἢ στεφάνοισι ῥόδων ἀνεδήσατο νίκας ἐν ἀγῶνι περικτιόνων. ἔνιοι δὲ τοῦτο τὸ ἔθος ἀπὸ θησέως τὴν ἀρχὴν λαβεῖν. ἐκεῖνον γὰρ ἐκ κρήτης κομισθέντα μετὰ τὸ ἀνελεῖν τὸν μινώταυρον, οἱ

ἀπὸ τῶν

ἀπὸ τῆς χώρας, ἄνθεσι καὶ φύλλοις ἔβαλλον. καὶ τοῖς πρῴοισι καρποῖς ἐτίμων.

Πειρίθου καὶ θησέως φιλοξενία.

ἐπὶ τῶν πολυτελῶς φιλοξενηθέντων, καὶ φιλοξενούντων. νόμος δὲ ἦν ἀθήνησι ξένους εἰς δέχεσθαι τοὺς βουλομένους τῶν ἑλλήνων. θετταλοὺς δ᾽ ἐξαιρέτως ὑπεδέχοντο, διὰ τὴν πειρίθου καὶ θησέως φιλοξενίαν. ἣν ἐκάλεσαν περιθοίδα ἀπὸ πειρίθου τοῦ ἰξίονος ὅθεν καὶ περιθοῖδαι δῆμος τοῖς οἰνηίδος φυλοῖς. ἔφορος ἱστορεῖ ἐν τρίτῃ.

Περιεστίαρχος ἐγκύου.

ἐπὶ τῶν καθαιρόντων. καὶ γὰρ οὗτοι περιεκάθαιρον τὰς ἑστίας καὶ τὰς ἐκκλησίας καὶ τὰς πόλεις. ἴστρος δὲ ἐν τοῖς ἀττικοῖς περίστια φησὶ προσαγορεύεται, τὰ καθάρσια. καὶ οἱ τὰ ἱερὰ καθαίροντες, περιεστίαρχοι. ἔξωθεν γὰρ περιέρχονται μαχαιροφοροῦντες. ἑκάστου τῶν ἱερῶν οἰκίας περιειλημμένοι δημοσίας, καὶ περίδρομον ἔχοντες.

Περίψημα ἡμῶν γενοῦ.

ἤτοι κάθαρμα. ἢ ἀπολύτρωσις. οὕτως ἐπέλεγον. τῷ κατ' ἐνιαυτὸν συνέχοντι τῶν κακῶν. περίψημα ἡμῶν γενοῦ. καὶ σωτηρία καὶ ἀπολύτρωσις. καὶ οὕτως ἐνέβαλλον τῇ θαλάσσῃ. ὡσανεὶ τῷ ποσειδῶνι θυσίαν ἀποτιννύντες. λέγεται καὶ περίψημα, τὸ καταπάτημα πάντων ὑπὸ τὰ ἴχνη, ἢ ἔμπαιγμα.

Περὶ ὄνου σκιᾶς.

περὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις.

Περδίκης τρόπον.

ἐπὶ τῶν πανωλεθρία ἀπολλυμένων. ἐπεὶ ἡ πέρδιξ κοπεῖσα, οὐκ ἀνίησιν ἔτι βλαστόν.

Πέτρας ἕψειν ἐπιχειρεῖς.

ἐπὶ τῶν ἀδυνάτων.

Πενίη σοφίην ἔλαχεν.

ἐπειδὴ οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι.

Πεινῶσαν ἀλώπεκα ὕπνος ἐπέρχεται.

ἐπὶ τῶν πανούργων.

## Πηγάσου ταχύτερος.

φασὶ ὅτι Βελλεροφόντην ὑπόπτερος ἵππος πήγασος ἔφερεν. ἐμοὶ δὲ ἵππος οὐδέ ποτε δοκεῖ δύνασθαι ἵπτασθαι, οὐδ᾽ εἰ πάντα τὰ πτηνῶν πτερὰ λάβῃ. εἰ γάρ ποτε τοιοῦτον ζῶον ἦν, καὶ νῦν ἂν εἴη. τοῦτον δὲ φασὶ καὶ τὴν ἀμισωδάρου χίμαιραν ἀνελεῖν. ἦν δὲ ἡ χίμαιρα ὥς φασιν, ἔμπροσθεν μὲν λέων. ὄπισθεν δὲ δράκων. μέση δὲ χίμαιρα. ἔνιοι δὲ δοκοῦσι τοιοῦτον γενέσθαι θήρειον, τρεῖς ἔχον κεφαλάς. ἀδύνατον δὲ λέοντα καὶ αἶγα ὁμοίᾳ τροφῇ χρῆσθαι. καὶ τὸ θνητὴν ἔχον φύσιν πῦρ ἀποπνέειν, εὔηθες. ποίαις δὲ τῶν κεφαλῶν τὸ σῶμα ἐπηκολούθει. τὸ δὲ ἀληθὲς οὕτως. Βελλεροφόντης ἦν φρύγιος ἀνήρ. τὸ γένος κορίνθιος. καλὸς καὶ ἀγαθός. ὃς πλοῖον κατασκευάσαι μακρόν, ἐλῄζετο τὰ παραθαλάσσια χωρία. ὄνομα ἦν τοῦ πλοίου, πήγασος. ὡς καὶ νῦν ἕκαστον τῶν πλοίων, ὄνομα ἔχει, ὅμοιον δὲ δοκεῖ πλοῖον μᾶλλον. ἢ ὄνομα ἵππῳ εἶναι πήγασος. Βασιλεὺς δὲ ἀμισόδαρος, ᾤκει παρὰ τοῦ ξάνθου ποταμοῦ. ὄρος δὲ ἦν ὑψηλὸν ὑπ᾽ αὐτῷ οὗ ὄνομα τελμισός. πρὸς ὃ δὲ

ὄρος, προβάσεις εἰσὶ δύο ἔμπροσθεν, ἐκ πόλεως τῶν ξανθίων. τρίτη δὲ, ὄπισθεν τῆς καρίας. τὰ δ᾿ ἄλλα, κρημνοί. ἐν δὲ τῷ μέσῳ αὐτῶν, χάσμα ἐστὶ τῆς γῆς μέγα. ἐξ οὗ δὴ καὶ πῦρ ἀναδίδοται. ἐπὶ τούτοις δ᾿ ἐστὶν ἕτερον ὄρος, ᾧ ὄνομα χίμαιρα. τότε δὲ ἦν, ὡς λέγουσι οἱ προσχώριοι, κατὰ μὲν τὴν πρόβασιν, οἰκῶν λέων ἔμπροσθεν ὄπισθεν δὲ δράκων. οἳ δὴ ἐσίνοντο τοὺς νομέας καὶ ὑλοτόμους. τότε δὴ ὁ Βελλεροφόντης ἐλθὼν, τὸ ὄρος ἐνέπρησε. καὶ ἡ τελμησσὸς κατεκάη. καὶ τὰ θηρία ἀπώλετο. ἔλεγον οὖν οἱ προσχώριοι Βελλεροφόντην ἀφικόμενον μετὰ πηγάσου τὴν ἀμισοδάρου χίμαιραν ἀπολέσαι. τούτου δὲ γεγονότος, προσανεπλάσθη ὁ μῦθος.

Πιττακὸς οὐδὲν ἄγαν,

ὃς ἦν ἐκ μιτυλήνης.

Πλίνθον πλύνεις.

ἐπὶ τῶν ἀδυνάτων.

Πλείους προσκυνοῦσι τὸν ἥλιον ἀνατέλλοντα, ἢ δύνοντα.

ἐπὶ τῶν διὰ ἀρετὴν τιμωμένων ἐν τῇ νεότητι, ἢ περὶ γῆρας.

Παλάγη

Πλατάγη δοκιμάσει.

ἔστι δὲ φύλλον τῆς μήκωνος, ἢ ἀνεμώνης. δι' αὐτῆς γοῦν ἐσημειοῦντο τὴν τῶν ἐρωμένων στοργήν. τιθέντες ἐπί τε τοῦ ἀντίχειρος καὶ τοῦ λιχανοῦ, καὶ ἀντικόπτοντες καὶ εἰ μὲν ἤχησεν, ἐστέργοντο. εἰ δ' οὖν τὸ ἀνάπαλιν.

Πολλῶν ἀχύρων ὀλίγον καρπὸν συνήγαγον.

ἐπὶ τῶν πολλὰ ποιούντων, ὀλίγα δὲ καρπουμένων.

Πολύποδος κεφαλῇ, ἐν μὲν κακόν.

ἐν δὲ καὶ ἐσθλόν. διότι ἔστι μὲν αὐτῷ ἐδώδιμος ἡ κεφαλή. ἔστι δ' αὐτῇ καὶ ὁ πρωκτός.

Πολλαῖς πληγαῖς δρῦς δαμάζεται.

πρὸς τοὺς δυσαλώτους.

Πολλαὶ κυνὸς ἄρρενος εὐναί.

ἐπὶ τῶν καταφερῶν εἰς τὰ ἀφροδίσια.

Πολλὰ μεταξὺ κύλικος καὶ χείλεος ἄκρου.

ἐπὶ τῶν εἰς χρόνον μακρὸν γενήσεσθαι μελλόντων. ἄμπελον γάρ τινος φυτεύοντος, ὡς

τῶν οἰκετῶν εἶπε τὸν στίχον τοῦτον.

Πόντος ἀγαθῶν.

ἐπὶ τῶν πολλὰ ἀγαθὰ ἐχόντων.

Πολλοί σε μισήσουσι ἂν σαυτὸν φιλῇς.

τοῦτο φασὶ νύμφας πρὸς νάρκισσον εἰπεῖν ἀποβλέποντα εἰς πηγὴν, καὶ τὴν οἰκίαν ποθοῦντα μορφήν.

Πόλλ' οἶδ' ἀλώπηξ.

ἀλλ' ἐχῖνος ἓν μέγα.

Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.

ἐπὶ τῶν δοξαζόντων εἶναι λαμπρῶν, μὴ ὄντων δέ.

Πονηρὰ κατὰ τρυγόνα ψάλλεις.

ἐπὶ τῶν ἐπιπόνως ζώντων.

Ποταμὸς θάλατταν ὑβρίζει,

ἐπὶ τῶν ἀνοήτων καὶ ἀδυνάτων.

Πολλῶν πανηγύρεων Διὸς βαλάνους ἔφαγον.

ἐπὶ τῶν ἐμπείρων.

Ποικιλώτερος ὕδρας.

ἐπὶ τῶν δολερῶν.

Πολλῶν ἐγὼ θηρείων ἀκήκοα ψόφους.

ἐπὶ τῶν πεπειραμένων ἐν πράγμασιν.

Πολλάκι μωρὸς ἀνὴρ κατακαίριον εἶπεν.

ἐπὶ τῶν ἀσκέπτως καὶ σπανίως εἰπόντων τι συνετόν.

Πολύποδος ὁμοιότης.

ἐπὶ τῶν ἐξομοιούντων ἑαυτοὺς πισὶν ἢ χρηστοῖς ἢ φαύλοις.

Πρεσβύτερος κόδρου.

ἐπὶ τῶν πάνυ παλαιῶν ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι κόδρου.

Πρὶν ἢ πτίσαι, τὰ ἄλευρα.

καὶ πρὶν τοὺς ἰχθῦς ἑλεῖν, σὺ τὴν ἅλμην κυκᾶς. πρὶν ἐσφάχθαι δέρεις. ἐπὶ τῶν πρωθύστερόν τι ποιούντων.

Προδίκου σοφώτερος.

οὗτος ἦν καὶ σοφὸς λίαν, καὶ ἀκριβὴς δικαστὴς καὶ διαιτητής.

Πρύμναν ἐκρούοντο.

πρύμναν ἀνακρούεσθαί ἐστι, τὸ κατ' ὀλίγον ὑποχωρεῖν, μὴ στρέψαντα τὸ πλοῖον. ὁ γὰρ οὕτως ἀναχωρῶν, ἐπὶ τὴν πρύμναν

κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν, ἵνα δείξωσι μὴ φανερῶς φεύγειν. ἵνα μὴ τὰ νῶτα δόντες τοῖς πολεμίοις, τιτρώσκωνται.

Πρωκτὸς λουτροῦ παραγίνῃ.

ἐπὶ τῶν ἀνωφελῶν καὶ εἰκῇ πραττομένων ἔλεγχος. οἱ γὰρ παχύπρωκτοι καὶ περιγάστορες, οὐ δύνανται ἑαυτοὺς ἀπονίψασθαι εὐπετῶς.

Πρόβατον μὲν ἀεὶ τὴν αὐτὴν φθέγγεται φωνήν.

ἄνθρωπος δὲ πολλὰς καὶ ποικίλας. ἐπὶ τῶν ἐναντίων.

Προσήκει τοῖς τέκνοις ἐντὸς θυρῶν λοιδορεῖσθαι.

ἐπὶ τῶν τὰς οἰκείας αἰσχύνας μὴ ὁρώντων, ἀλλ' ἑτέρας λοιδορουμένων. ἴδιον γὰρ υἱὸν ἔχοντας, οὐκ εὐκεχρημένον ἐφ' ὥρᾳ τῷ σώματι. τὸν δὲ κικόδρανα λοιδοροῦντος εἰς μαλακίαν, καὶ κίναιδον ἀποκαλοῦντος εἶπε τοῦτο κικόδρων.

Πρὸς σῆμα μητρυιᾶς κλαίει.

ἐπὶ τοῦ ἀφροντίστου, ἢ προσποιουμένου.

Πρὸς κέντρα λακτίζεις.

παραφράσεως δεῖται μόνον ἡ παροιμία.

ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων.

Πρὸ τῆς νίκης ἐγκώμιον ᾄδεις.

ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα.

Πρὸς λέοντα δορκάδες συνάπτουσι μάχας.

ἐπὶ τῶν ἐριζόντων πρὸς κρείττονας.

Πτερυγίζεις.

ἐπὶ τῶν ἐπηρμένων καὶ ἀνύσαι τι μὴ ἰσχυόντων. εἴληπται ἐκ μεταφορᾶς τῶν ἐπιβαλλομένων μὲν πέτεσθαι νεοσσῶν, μὴ δυναμένων δὲ, καὶ εἰς γῆν πιπτόντων.

Πτολεμαῒς δίκη.

ἐπὶ τῶν ἀναβαλλομένων. πρεσβῦτις δὲ ἦν ἡ Πτολεμαῒς. ἄχρις οὗ ἀποθάνοι δίκας λέγουσα, καὶ ἀεὶ ὑπερτιθεμένη. διὰ τὸ μηδέποτε βούλεσθαι ἀπαλλαγῆναι τοῦ δικάζεσθαι.

Πτίσσε πτίσσε τὸν ἀναξάρχου θύλακον.

οὐ γὰρ πτίσσεις ἀνάξαρχον. οὗτος συσχεθεὶς ὑπὸ ἀρχελάου τοῦ τυράννου καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ. πτίσσεσθαι δέ ἐστι τὸ δίκην πτισάνης τύπτεσθαι. ἔνθεν καὶ πτισάνη, παρὰ τὸ πτίσσεσθαι.

πτισσόμενος δὲ, οὕτως ἔφη. αἰνιττόμενος οἷα φιλόσοφος δῆθεν, τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι.

Πτωχοῦ φίλοι, οὐδ' οἱ γεννήτορες.

Πτωχοῦ πήρα οὐ πίμπλαται.

ἐπὶ τῶν ἀπλήστων.

Πύθια καὶ δήλια.

ἐπὶ τῶν ταχέως ἀπολλυμένων. φασὶ πολυκράτην τὸν σάμου τύραννον πύθια καὶ δήλια ποιήσαντα ἅμα, ἐν δήλῳ πέμψαι εἰς θεοῦ χρησόμενον, εἰ τὰ τῆς θυσίας ἄγει ἐπὶ τὸ ὡρισμένον. τὴν δὲ πυθίαν ἀνελεῖν, ταῦτά σοι καὶ πύθια καὶ δήλια. βουλομένη δηλοῦν, ὅτι ἔσχατα. μετ' ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη. ἐπίκουρος δὲ ἔν τινι τῶν πρὸς ἰδομενέα ἐπιστολῶν, ταῦτα φησί.

Πυθαγορικοὺς κυάμους μὴ ἔσθιε.

ἀντὶ τοῦ μὴ ἀδίκει. οὗτοι γὰρ δι' αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα. παρεδίδοτο δὲ μετὰ τὰ ἄλλα, καὶ τοῦτο τὸ αἴνιγμα. κυάμους μὴ ἐσθίειν. τουτέστι μὴ προδιδόντας τὸ δίκαιον δωροδοκεῖσθαι χρήμασιν. οἱ γὰρ ἀθήνησι δικασταὶ, τὸ παλαιὸν ἀν

τὶ ψή

τὶ ψῆφων κυάμους ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις. φασὶν οὖν ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου μὴ δεῖν ἐσθίειν.

Πυλωρὸς κακός.

ἐπὶ τῶν μὴ καλῶς φυλασσόντων. θυεικύων γὰρ ἐκ δελφῶν παραγενόμενος, ἰδὼν τὸ Φιλίππου στρατόπεδον ἐν ἰσθμῷ τὰ στενὰ κατειληφότας, κακοὺς ἔφη πυλωροὺς ὑμᾶς ὦ κορίνθιοι ἡ πελοπόννησος ἔχει. Πύθου χελιδόνος. ἀντὶ τοῦ ἐγκαίρως ποίει τὰ σαυτοῦ ἀπό τινος χελιδόνος θεολόγου καὶ τερατοσκόπου, περὶ τελῶν διειλεγμένου. ὡς μνασέας ὁ παρεὺς ἐν τῷ περίπλῳ. οἱ δὲ, ὅτι θερινικὸν τὸ ζῶον. οἱ δὲ ὅτι τὸ ἔαρ προσημαίνει.

Πῦρ ἐπὶ πυρί.

κακὸν ἐπὶ κακῷ. ταύτης μέμνηται καὶ πλάτων. Ἐπὶ λιβάνος. πῦρ ἐπὶ πῦρ ἦν ὁμηρ ὑέρράνδρου μηχάνημα. οὗτος ἐγένετο πονηρὸς καὶ συκοφάντης.

Ραδαμάνθυος ὅρκος.

ἐπὶ τῶν ὑπὸ δικαιοσύνης μαρτυρουμένων. ὁ δὲ ὅρκος ἦν κατὰ χηνός. ἢ κυνός. ἢ πλατάνου. ἢ κριοῦ. ἢ τινὸς ἄλλου τοιούτου

οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ, κύων. ἔπειτα, χὴν. τοιοῦτοι δὲ καὶ οἱ σωκράτους ὅρκοι.

Ῥᾷον ἢ τὸ ὅρειον ὑπερέβησαν οἱ Βοιωτοί.

ἐπὶ τῶν τοὺς ὅρους καὶ τὸ μέτρον ὑπερβαινόντων. ὅρειον γὰρ ὅρος ἐστίν. εἰς ὃ οἱ ὅροι τῶν Βοιωτῶν ὡρίζοντο.

Ῥανὶς ἐνδελεχοῦσα, κοιλαίνει πέτραν.

Ῥαχίας λαλίστερος.

ἐπὶ τῶν ἀδολέσχων. ταῖς γὰρ ῥαχίαις συνεχῶς εἰσβάλλοντα τὰ κύματα, ψόφον ἀποτελοῦσι.

Ῥεχθὲν δέ τε νήπιος ἔγνω.

ἐπὶ τῶν ἀνοήτων.

Ῥηγίνου δειλότερος.

ἐπὶ τῶν καθ' ὑπερβολὴν δειλῶν. καὶ δειλότερος τοῦ παρακύπτοντος. ξένναρχος γὰρ σώφρονος, ἐκωμώδει τοὺς ῥηγίνους ὡς δειλούς. ὑπὸ διονυσίου τοῦ τυράννου πεισθείς.

Ῥοδίων χρησμός.

ἐπὶ τῶν πολυεργότερον πυνθανομένων. ῥόδιοι γὰρ τῇ λινδίᾳ ἀθηνᾷ θύοντες καθ' ἑκάστην ἡμέραν ἐνδιετέλουν τῷ ναῷ ἐνοχού-

χούμενοι. οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἅμιλλα εἰς φέρειν. συγκατανεύσαντος δὲ, πάλιν ἀνεπυνθάνοντο. χαλκῆν δὲ ἢ ὀστρακίνην. ὁ δὲ, ὀργισθεὶς, ἀπεφθώσατο μὴ δὲ ἑτέραν.

Ῥόδον ἀνεμώνῃ συγκρίνεις.

ἐπὶ τῶν τὰ ἀνόμοια συμφυόντων καὶ συγκρινόντων.

Ῥόδα μ᾽ εἴρηκας.

ἀντὶ τοῦ ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα, ῥόδα ἐστίν.

Ῥόδον παρελθὸν, μηκέτι ζήτει πάλιν.

ἐπὶ τῶν κυδαινόντων τινάς.

Ῥόδιοι τὴν θυσίαν.

ἐπὶ τῶν ἐν ἱεροῖς βλασφημούντων.

Σαλαμίνια ναῦς.

περὶ τῶν ταχέων. δύο δὲ ἦσαν νῆες παρὰ τοῖς ἀθηναίοις καὶ ὑπηρετίδες ταχύδρομοι. ἡ πάραλος καὶ ἡ σαλαμινία. ὧν ἡ μὲν σαλαμινία τοὺς ἐγκαλουμένους εἰς κρίσιν ἦγεν. ἣν καὶ ἐπὶ ἀλκιβιάδην φησὶ πεμφθῆναι θουκυδίδης. ἡ δὲ πάραλος τὰς θεωρίας ἀπῆγε. τουτέστι τὰ εἰς

θεωρίαν πεμπόμενα.

Σαμίων ὁ δῆμος, ὡς πολυγράμματος, ἤτοι μαστιγίας.

ἐπὶ τῶν ποικίλων. ἀριστοφάνης Βαβυλωνίοις ἐπισκώπτων, τοὺς ἐστιγμένους. οἱ γὰρ σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων ὡσανεὶ τῶν πολιτευομένων, ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν. ὡς ἀριστοτέλης ἐν τῇ σαμίων πολιτείᾳ. ἢ ὅτι παρὰ σαμίοις εὑρέθη πρώτοις τὰ εἴκοσι τέσσαρα γράμματα ὑπὸ καλλιστράτου. ὡς ἄνδρων ἐν τρίποδι. τοὺς δὲ ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν ἰώνων γράμμασιν, ἀρχίνου δὴ ἀθηναίου, ἐπὶ ἄρχοντος εὐκλείδου. τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ καλλιστράτου, ἀριστοφάνης ἔτεσι πρὸ τοῦ εὐκλείδου καὶ ἀθηνοκλέους. περὶ δὲ τοῦ πείσαντος, ἱστορεῖ θεόπομπος. οἱ δὲ ὅτι ἀθηναῖοι μετὰ τοὺς ληφθέντας ἐν πολέμῳ σαμίους ἔστιζον γλαυκισάμενοι. ἡ σαμαίνης ἐστι, πλοῖον δίκροτον, ὑπὸ πολυκράτους πρῶτον κατασκευασθὲν τοῦ σαμίου τυράννου. ὡς λυσίμαχος. τὸ δὲ πλάσμα, συειδές. οἱ δὲ, τὴν σάμαιναν, νό-

ναυ, νόμισμα εἶναι. τάττεται δὲ ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν συμφοράς. πρότερον δὲ ἀθηναῖοι τοὺς σαμίους ἔστιξαν.

### Σαρδαναπάλου βίος.

Καλλισθένης, ἐν δευτέρᾳ τῶν περσικῶν δύο ἔφη γεγονέναι σαρδαναπάλους. ἕνα μὲν δραστήριον καὶ γενναῖον. ἄλλον δὲ μαλακόν. ἐν νίνῳ δ' ἐπὶ τοῦ μνήματος αὐτοῦ, τοῦτ' ἐπιγέγραπται. ἀνακυνδαράξου παῖς, ταρσόν τε καὶ ἀγχίαλον ἔδειμεν ἡμέρῃ μιῇ. ἔσθιε πῖνε. ὄχευε. ὡς τά γε ἄλλα. οὐδὲ τούτου ἐστὶν ἄξια. τουτέστι τοῦ τῶν δακτύλων ἀποκροτήματος. τὸ γὰρ ἐφεστὸς τῷ μνήματι ἄγαλμα, ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται, ὥστ' ἀνακροτεῖν τοῖς δακτύλοις. ταυτὸν καὶ ἐν ἀγχιάλῳ τῇ πρὸς ταρσὸν ἐπιγέγραπται. ἥ τις νῦν καλεῖται ζεφύρειον.

### Σαρδώνιος γέλως.

ἐπὶ τῶν ἐπ' ὀλέθρῳ τῶν σφῶν αὐτῶν γελώντων. Καδήμων μὲν διαβεβαιοῦται, ὅτι οἱ σαρδῶνα κατοικοῦντες, αἰχμαλώτων τοὺς καλλίστους καὶ πρεσβυτέρους ὑπὲρ ἑβ-

δομήκοντα ἔτη, τοὺς Κρόνῳ ἔθυον γελῶντας ἕνεκα τοῦ τὸ ἔπανδρον ἐμφῆναι, τουτέστι ἀνδρεῖον. ἢ ὅτι σάρδιον, βοτάνη ἐστὶ δηλητήριος. ἢ τις ἅπαν τὸ σῶμα τοῦ φαγόντος αὐτὴν, σπασμῷ ὑποβάλλει. ὡς καὶ τῶν χειλέων συστελλόντων, γυμνοῦσθαι τοὺς ὀδόντας, καὶ γέλωτος φαντασίαν παρέχειν τοῖς ὁρῶσιν. ὅθεν ἔνιοι ἐφ᾽ ὕβρει ὀνομάζουσι τὸν σαρδώνιον γέλωτα. ἔστι δὲ καὶ λίθος οὕτω καλούμενος.

Σαυτὸν ἐπαινεῖς ὥσπερ ἀστυδάμας ποτέ.

ἀστυδάμα τῷ Μορσίμου εὐημερήσαντι ἐπὶ τραγῳδίας διδασκαλίᾳ, Παρθενοπαίου δοθῆναι ὑπ᾽ ἀθηναίων εἰκόνος ἀνάθεσιν ἐν θεάτρῳ. τὸν δὲ, εἰς αὐτὸν ἐπίγραμμα ποιῆσαι ἀλαζονικὸν τοῦτο. εἴτ᾽ ἐγὼ ἐν κείνοις γενόμην, ἢ κεῖνοι ἅμ᾽ ἡμῖν, οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν. ὡς ἐπ᾽ ἀληθείης ἐκρίθην ἀφεθεὶς παράμιλλος. νῦν δὲ χρόνῳ προέχουσ᾽, οἷς φθόνος οὐχ ἕπεται. διὰ οὖν τὴν ὑπερβάλλουσαν ἀλαζονείαν παραιτήσασθαι τὴν ἐπιγραφήν. καὶ παροιμία παρὰ

τοῖς κω=

τοῖς κωμικοῖς ἐγκύκλιος. ὡς παρὰ Φιλήμονι.

Σελίνου στέφανος τῶν βίμος.

τὸ γὰρ σέλινον τῶν θεσι προσήκει, ὡς ἐν φησι δὲ οὖν εἰς ἐν τῷ περὶ ἀγώνων.

Σεσέλλισαι κατ' αἰσχύνην.

ἀντὶ τοῦ μάτην ἐπῆρσαι. ἀπ' αἰσχύνου τοῦ σέλλου. ὃς ἦν κομπαστὴς καὶ ἀλαζὼν, ἔν τε τῷ διαλέγεσθαι, καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν. λυκόφρων δ' ἀπέδωκε τὸ σελλίζεσθαι, ἀντὶ τοῦ ψελίζεσθαι.

Σὲ δ' οἰωνίσαι τ' ἄν τις ἰδών.

πρόσθεν οἱ παλαιοὶ οἰωνίζοντο ἐκ τοῦ συναντῆσαι πρώτῳ ἐν τῇ ὁδῷ εἰ δέχθεῖ, ἢ θύει δεῖ, καὶ σκοτωδὴς τυ, ἢ λευχειμονοῦντι.

Σήπινον γερόντιον.

ἐπὶ τῶν ἀσθενῶν.

Σήψει καὶ πέτρην ὁ πολὺς χρόνος.

οὐδὲ σίδηρον φείδεται. ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ.

Σικελὸς ὀμφαλίζεται.

ἐπὶ τῶν διὰ μικρὰ ὑποπτευόμενα κέρδη μεγάλως βλαπτομένων. δύναται δὲ καὶ ἐπὶ

τῶν τὰ ὡραιότερα ἐκλεγομένων τάσσεται.

Σικελικὴ τράπεζα.

ἐπὶ τῶν ἄγαν τρυφηλῶν.

Σίλφιον Βάττου.

ἐπὶ τῶν ἄγαν τιμωμένων. ἔστι βοτάνη πολύτιμος. ἡ δὲ αἰτία, αὕτη. Βάττος ἐστὶν ὁ ἀριστοτέλης. πόλιν ἐν λιβύῃ κυρήνην λεγομένην ἔκτισεν. οἱ δὲ κυρηναῖοι βουλόμενοι αὐτᾳ πόδοσιν τῆς εὐεργεσίας χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ κλάδος ἐστὶν ὁ ὀπός, πολλῆς ἄξιος τιμῆς.

Σκιὰ ἀντὶ τοῦ σώματος.

ἐπὶ τῶν δοκούντων κρατεῖν τι, οὐδὲν δ' ὅμως κρατούντων.

Σκεδάσου κατάρα.

ἐπὶ τῶν ἀτυχῶς καταρωμένων τισί. σκέδασος γὰρ λευκτραῖος ὤν, εἶχε τρεῖς θυγατέρας. τινὲς δὲ τῶν λακεδαιμονίων πάλαι παρ' αὐταῖς ἐπιξενωθέντων, μίξει τὰς κόρας ἐνύβρισαν. καὶ φοβηθέντες οἱ λακεδαιμόνιοι, μήπως δημοσιεύσωσι τῷ οἰκείῳ πα-

τρὶ τῶ

περὶ τὴν ἀσέλγειαν, ἀναιροῦσι αὐτάς. ἐπανελθὼν δὲ ἐν τῇ οἰκείᾳ πόλει τοῖς λεύκτροις ὁ σκέδασος, καὶ μαθὼν τὸ γεγονὸς, κατηρᾶτο πᾶσι λακεδαιμονίοις περὶ αὐτὸν τὸν τάφον τῶν θυγατέρων αὐτοῦ ἀτυχῆσαι. διὸ καὶ ἡ ἀτυχία ἔφθασεν ἐν λεύκτροις τοὺς λακεδαιμονίους. οἱ γὰρ λακεδαιμόνιοι, ἐν τῷ πελοποννησιακῷ πολέμῳ, μετὰ τὸ κατὰ κράτος νικῆσαι τοὺς ἀθηναίους ἠβουλήθησαν καὶ τοὺς ἰδίους συμμάχους πολεμῆσαι. καὶ ὁρμήσαντες κατὰ θηβαίων, πρὶν προσεγγίσαι τῇ πόλει, γενόμενοι ἐν λεύκτροις, πόλις δὲ αὕτη θηβῶν, συμβαλόντες, ἠτύχησαν. ἐπαμινώνδου στρατηγοῦ θηβαίων εὐδοκιμήσαντος. καὶ οὕτως ἀπέβη ἡ κατάρα τοῦ σκεδάσου. καὶ γέγονε τὸ πάθος τοῖς λακεδαιμονίοις ἐν λεύκτροις, ἔνθα ἔφθειραν καὶ ἀπέκτειναν τὰς θυγατέρας αὐτοῦ.

Σμικρῷ ποδὶ, μεγάλα περιτίθης ὑποδήματα.

λέγεται ἐπὶ τῶν ῥητόρων μᾶλλον τῶν τὰ μικρὰ αὐξανόντων.

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

Σοὶ μὲν κακῶς λέγειν.

ἐμοὶ δὲ κακῶς ποιεῖν. λεγομένους πρὸς τοὺς τῶν ἀργείων λοιδοροῦντας αὐτὸν ὡς ἐπίορκον καὶ ἀσεβῆ.

Συνεκποτέον ἐστί σοι καὶ τὴν τρύγα.

ἐπὶ τοῦ ἀρξαμένου τινὸς πράγματος, εἶτα ὀλιγορήσαντος.

Σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰτεῖς.

λέγεται ἐπὶ τῶν φιλαργύρων.

Σὺν τῷ κιωὶ, καὶ τὸν ἱμάντα.

ἐπὶ τῶν πάντα ἀπολωλεκότων.

Συρακουσίων τράπεζα, ἡ πολυτελής.

ἐδόκουν γὰρ οἱ συρακούσιοι ἁβροδίαιτοι εἶναι μᾶλλον πάντων.

Σύροι πρὸς φοίνικας.

ἑκάτερα τὰ ἔθνη διαβέβληται ὡς πανοῦργα. ἢ ὅτι ἑκάστοτε δι᾽ ἔχθρας ἀλλήλοις ὄντα, οὐδέ ποτε πιστῶς διαλλάττεται.

Σύλλου φιλία καὶ μετέλλου τοῦ πίου.

ἐπὶ τῶν φίλων ἀκραιφνῶς καὶ ἀδόλως φιλούντων ἀλλήλους. σύλλας γὰρ ὁ εὐτυχὴς ἀναγορευθεὶς, τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο. τὴν πίου μετέλλου φιλίαν, καὶ τὸ

μὴ

μὴ κατασκάψαι τὰς ἀθήνας, ἀλλὰ φείσασθαι τῆς πόλεως.

Σὺ ἐν σεαυτῇ τὰ φάρμακα ἔχεις.

ἐπὶ τῶν διὰ ὥραν ἐπισπωμένων τοὺς ἄνδρας ἐφ' ἑαυτάς. λέγεται καὶ ἐπὶ ἄλλων ἀρετῶν. Φίλιππος γὰρ ἤρα θετταλῆς γυναικός, αἰτίας ἐχούσης καταφαρμακεύειν αὐτόν. ἐσπούδασεν οὖν ἡ ὀλυμπιὰς λαβεῖν αὐτὴν ἄνθρωπον ὑποχείριον. ὡς δὲ εἰς ὄψιν ἐλθοῦσα, τό, τε εἶδος εὐπρεπὴς ἐφάνη, καὶ διελέχθη πρὸς αὐτὴν οὐκ ἀγεννῶς οὐδὲ ἀσυνέτως, χαιρέτωσαν εἶπεν ἡ ὀλυμπιὰς αἱ διαβολαί. σὺ γὰρ ἐν σεαυτῇ τὰ φάρμακα ἔχεις.

Συστομώτερον σκάφης.

τάσσεται ἐπὶ τῶν διὰ τὸ ἀγεννὲς σιωπώντων. ἀπὸ τοῦ τοὺς μετοίκους ἀθήνησιν ἐν ταῖς δημοτελέσι πομπαῖς σκάφας φέροντας πομπεύειν. καὶ ὁπότε δὲ ἐβούλοντο μέτοικον δηλῶσαι, ἢ σκάφην ἔλεγον, ἢ σκαφηφόρον. διὰ δὲ τὸ ἀπαρρησίαστον εἶναι, συστομώτερον ποιήσειν σκάφης.

Σύντομος ἡ πονηρία. Βραδεῖα ἡ ἀρετή.

πρόσοδοι τὰ μὲν καλὰ δυσχερῆ. τὰ δὲ κακὰ, πρόχειρα.

Συνῆλθον ἀττάλας καὶ νουμήνιος.

ἐπὶ δύο κλεπτῶν εἴρηται.

Συγκρητισμὸν ἔχεις.

εἴρηται, ἐπὶ τῶν διὰ ἀνάγκην συμμάχων γινομένων ἀλλήλοις. οἱ κρῆτες γὰρ καθ᾽ ἑαυτοὺς στασιάζοντες, ὅτε στρατὸν ξενικὸν ἑώρων ἐπιστρατεύοντα τῇ ἑαυτῶν πατρίδι. συμμαχίαν καὶ ὁμαιχμίαν ἠσπάζοντο. ὅπερ συγκρητισμὸς ἐκλήθη.

Σύμβουλος ἄριστος ὁ χρόνος τῶν πραγμάτων.

Συγγνώμη πρωτοπείρῳ.

ἐπὶ τῶν ἐν τοῖς πρώτοις ἁμαρτανόντων.

Σφάκελος σοι.

ὁ διὰ τοῦ μέσου τῶν δακτύλων τῆς χειρὸς γενόμενος χλευασμός. σφάκελον δ᾽ ἔνιοι λέγουσι, τὴν σῆψιν τῶν ὀστέων.

Σφενδόνη γύγου. ὁμοία τῇ κυνῆ ἄϊδος.

ἐπὶ τῶν ἀφανῆ τινα καὶ ἀπόκρυφα ποιούντων.

τῶν. πλάτων ὁ φιλόσοφος ἐν ταῖς πολιτεί-
αις εἰσφέρει τὸν μῦθον τοῦτον, οὕτω λέγων.
ὅτι γύγης ἦν τις ποίμην περὶ τὴν λυδίαν. οὗ-
τος ποιμαίνων ἔν τινι ὄρει τὰ πρόβατα, περιέ-
τυχε σπηλαίῳ τινί. καὶ εἰσελθὼν ἐν αὐτῷ,
εὗρεν ἵππον χαλκοῦν. καὶ ἔνδον τοῦ χαλκοῦ ἵπ-
που, νεκρὸν ἄνθρωπον καὶ δακτύλιον. οὗ δακ-
τυλίου ἡ κεφαλὴ στρεπτὴ ἦν ἔστρεφε δὲ ἣν κα-
λοῦσι σφενδόνην. ὃν ὁ γύγης τὸν δακτύλι-
ον καὶ ἐξῆλθε. καὶ ἡνίκα μὲν ἦν τῇ τάξει ὁ δακ-
τύλιος, ἑωρᾶτο ὑπὸ πάντων. ἡνίκα δὲ τὴν
σφενδόνην τοῦ δακτυλίου ἔστρεφεν, ἀφα-
νὴς ἐγίνετο πᾶσιν. ὁ οὖν πλάτων εἰσφέρει
τὸν μῦθον τοῦτον, ὅτι φησὶν ὁ δίκαιος ἀνὴρ
κἂν τοῦ γύγου λάβῃ δακτύλιον ἵνα μὴ ὁρᾶ-
ται ὑπό τινος, οὐδ᾽ οὕτως ὤφειλεν ἀδικεῖν.
δεῖ γὰρ τὸ καλὸν δι᾽ αὐτὸ ἀγαθὸν ἐπιτη-
δεύειν, καὶ μὴ δι᾽ ἄλλον τινὰ τρόπον.

Τάδ᾽ ἐκ τρίποδος.

Τίθεται ἐπὶ τῶν πάνυ ἀληθῶν. ἀρι-
στοκλείᾳ γὰρ τῇ πυθίᾳ γενομένῃ, μιχθῆναι
πυθαγόραν τὸν ἀδελφόν. καὶ τῶν ὑπ᾽ αὐτῆς μαν-
τευομένων παρασημειοῦσθαι, ὡς ἐκ τρίποδος.

Τὰ νικησίου δρᾷ.

ἐπὶ τῶν μαλακῶν. τοιοῦτος γὰρ ὁ νικησίας ἦν.

Τάδε μηδεὶς οὐ φυλάξει. ἐπὶ τὴν τοῦ ξέρξου ἔφοδον, τοὺς ἕλληνας ἀπειρηκότας τὰ ἑαυτῶν ἀναλίσκειν καὶ δαπανᾶν. ἐπιλέγοντας, τάδε μηδεὶς οὐ φυλάξει.

Τὰ μὲν ἐξ ἀρχῆς, οὐ μέμνημαι.

Τὰ δὲ μετὰ οὐ συνίημι. τάδ' ἐπὶ πᾶσιν, οὐ δοκιμάζω. ἐπὶ τῶν πολλὰ λεγόντων, καὶ πάντα οὐδενὸς ἄξια. ὁμοία τῇ τὰ μὲν πρῶτα ἐπιλελάθαμεν. τὰ δὲ ὕστερα, οὐ συνήκαμεν, διὰ τὸ τὰ πρῶτα ἐπιλελῆσθαι.

Τὰ ἀπὸ τυαννάκου ταῦτα.

ἐπὶ τῶν τῇ παλαιότητι θαυμαζομένων. Τυαννακὸς γὰρ φεύγων βασιλεὺς, πρὸ τῶν δευκαλίωνος χρόνων.

Τὰ ἐκ τῶν ἁμαξῶν.

ἐπὶ τῶν ἀπὸ ἀνακαλύπτως σκοπτόντων. Ἀθήνησι γὰρ ἐν τῇ τῶν χοῶν ἑορτῇ, οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας, ἔσκωπτόν τε καὶ ἐλοιδόρουν. τὸ δ' αὐτὸ καὶ

τὸ καὶ τοῖς λημναίοις ὕστερον ἐποίουν.

Ταυτόν ἐστι.

χιλίων προβάτων κρατήσαντα, τριάκοντα λύκοις μάχεσθαι. ὅτι δεῖ κρατήσαντα, μὴ αὖθις κινδυνεύειν.

Τὰ ἐν χερσὶ κρατούμενα,

μείζονά ἐστι τῶν προσδοκωμένων.

Τὰ μαγνήτων κακά.

ἐπὶ τῶν μεγίστων καὶ ἀλγεινοτάτων κακῶν. παρόσον οὗτοι ἀσεβήσαντες εἰς θεοὺς, μεγάλων κακῶν ἐπειράθησαν.

Ταντάλειοι τιμωρίαι.

ἐπὶ τῶν ἀγαθὰ μὲν ἐπιτυχόντων, μὴ συγχωρουμένων δὲ ἀπολαύειν αὐτῶν. φασὶ γὰρ τοῦ ταντάλου ἔμπροσθεν εἶναι παντοδαπὰ δένδρα. καὶ ἡνίκα ἂν τὴν χεῖρα ἐκτίνη λαβεῖν τι τῶν δένδρων. ἐκκλίνουσιν ἀπ' αὐτοῦ. ἢ ὅτι πηγὴ πλήρης ὕδατος ἐστί. καὶ ὑπὲρ κεφαλῆς λίθος μεγάλη κρέμαται. καὶ ἡνίκα ἂν κύψῃ τοῦ πιεῖν, πίπτει ἡ πέτρα, καὶ οὐκ ἐᾷ αὐτὸν πιεῖν. καὶ τοῦτο ἀϊδίως.

Τὰ πρῶτ᾽ ἀρίστους παῖδας αἴγιν᾽ ἐκτρέφει.

ἐν ἀκμῇ γὰρ μεταβάλλουσιν ἐπὶ τὸ χεῖρον οἱ αἰγινῆται. ἀπὸ ἀχιλλέως. πατρόκλου. αἴαντος νεοπτολέμου.

Τὰ σαμίων ὑποπτεύεις.

αὕτη λέγεται ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους αἰκισμοὺς παθεῖν ἕνεκα προδοσίας. παρῆλθε δὲ ἀπὸ τῶν γινομένων ὑπὸ ἀθηναίων εἰς σαμίους αἰκισμῶν. ἑλόντες γὰρ αὐτοὺς οἱ ἀθηναῖοι, τοὺς μὲν, ἀπέκτειναν. τοὺς δὲ, ἔστιξαν τῇ καλουμένῃ σάμῃ. ἥ ἐστιν εἶδος πάθους σαμιακοῦ. ἀνθ᾽ ὧν καὶ οἱ σάμιοι τοὺς ἁλόντας μετὰ ταῦτα ἀθηναίων ἔστιξαν.

Τὰ ταντάλου τάλαντα.

πλούσιος ὁ φρὺξ τάνταλος διαβεβόηται πλούτου χρυσοῦ καὶ διὸς λεγόμενος. κέχρηται δὲ τῇ παροιμίᾳ καὶ ἀνακρέων ἐν τρίτῃ. γέγονε δὲ παρὰ τὸ ὄνομα, τάλαντα. ὡς καὶ παρὰ τοῖς κωμικοῖς εἴρηται. ταντάλου τάλαντα ταλαντίζεται.

Τὰς ἐν ᾅδου τριακάδας.

τιμᾶται ἡ τριακὰς ἐν ᾅδου, διὰ τὴν ἑκάτην. καὶ

τίων. καὶ γὰρ ἀθηνᾶ καὶ ἄρτεμις καὶ ἑκάτη, ἐν εἶναι δοκοῦσι.

Τὰ γὰρ ἐπέκεινα γαδείρων οὐ περατὰ παρὰ τῶν ἀδυνάτων.

Τὰ τρία τὰ εἰς τὸν θάνατον.

ὅτι ὁ μαντευόμενος ἐν δελφοῖς, σεσημασμένους ἐλάμβανε τοὺς χρησμούς. καὶ προείρητο αὐτῷ εἰ λήσει, ζημία τῶν τριῶν. ἢ γὰρ τῶν ὀφθαλμῶν αὐτὸν ἔδει στερηθῆναι, ἢ τῆς χειρός, ἢ τῆς γλώττης. ἄλλοι δὲ φασί, παρὰ τῶν κατακεκρινομένων ἐπὶ θανάτῳ προσεφέρετο τὰ τρία ταῦτα. ξίφος. βρόχος. κώνειον.

Ταχυβάμονα ὅρκους.

ἀρίσταρχος κατὰ ἀντίφρασιν ἀκούει. ἀντὶ τοῦ βραδεῖς. βέλτιον δὲ τοὺς ἐν ἑτέρῳ τινὶ γινομένους νοεῖν. ἀβλαβεῖς γὰρ οἱ ἀπορκήσαντες. ὅθεν ἡ παροιμία. ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.

Ταυροπόλου ἀρτέμιδος, ταχύτερος.

ὡς γὰρ ταῦρος περίεισι πάντα. οὕτως ἀπολλόδωρος. ἴστρος δὲ, ὅτι τὸν ὑπὸ ποσειδῶνος ἐπιπεμφθέντα ἱππολύτῳ ταῦρον, ἔκτεινε. καὶ ἡ ἀθηνᾶ δὲ ταυροπόλος ἐν ἄν-

δρῳ. ὁ γοῦν Ἄνιος δοὺς ταῦρον ταῖς ἀδελφαῖς ἐκέλευσεν. ὅπου ἂν ἐκ τῆς νεὼς ἅληται, ἱδρύσασθαι Ἀθηνᾶν. οὕτως εὐπλοήσειν. ὁ δ' ἐν Ἄνδρῳ ἐξήλατο.

Τελχινίου πενέστερος.

ὅθεν καὶ τὸ κενῶσαι, τελχινῆσαι λέγουσιν οἱ Σερίφιοι, ἀπὸ τούτου ὡς τὸ εἰκὸς πένητος παντελῶς. λέγεται καὶ τελχίνιος ἠχὼ μεταφορικῶς ἀπὸ τῶν ἀγγείων τῶν μὴ ἐχόντων ἔνδοντι.

Τενέδιος ἄνθρωπος.

Κύκνον τὸν Ποσειδῶνος γενόμενον πατέρα ἡμιθέας καὶ Τέννου ἐπιγῆμαι τούτοις. καὶ κατηγορηθῆναι τὸν Τέννον ὑπὸ τῆς μητρυιᾶς, ὡς πειρῶντα αὐτήν. πεισθέντα δὲ Κύκνον, εἰς λάρνακα βαλεῖν τὸν νεανίαν. ἑλομένης δὲ τῆς ἡμιθέας συγκινδυνεύειν τῷ ἀδελφῷ, ἑκατέρους καταπόντωσεν. ἡ δὲ λάρναξ, ἐπὶ τὴν πρότερον καλουμένην λευκοφόρον ἠνέχθη. ὕστερον δὲ Τένεδον ἀπ' ἐκείνου. ὃς καὶ βασιλεύσας τῆς νήσου, ἐνομοθέτησε τοῖς τὰ ψευδῆ κατηγοροῦσιν ὄπισθεν παρεστάναι τὸν δήμιον πελέ-

πέλεκυν ἐπηρμένον. ὡς ἐλεγχθέντας παραχρῆμα ἀναιρεῖσθαι. ἀπὸ δὲ τοῦ φοβεροῦ θεάματος ἐκείνου λέγεσθαι τενέδιος ἄνθρωπος. εἴρηται δὲ ἡ παροιμία, ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις.

Τενέδιος ξυνήγορος.

ἀντὶ τοῦ ἀπότομος. δύο γὰρ πελέκεις ἐν ἀναθήμασι τιμῶσι τενέδιοι. καὶ παροιμία τενέδιος πέλεκυς. Ἀριστοτέλης μὲν φησὶ, ὅτι βασιλεὺς τενέδιος μετὰ πελέκεως δικάζων, τοὺς ἀδικοῦντας εὐθέως ἀνῄρει. ἢ ὅτι ἀστεῖνα τόπος ἐν τενέδῳ, ἔνθα ποταμίσκος. ἐν ᾧ καρκῖνοι τὰ χελώνια διηρθρωμένα ἔχοντες ὡσεὶ πλοῖον, καὶ πελέκει τοὺς μοιχοὺς ἄμφω καρατομεῖν. καὶ ἐπὶ τοῦ υἱοῦ ἐτήρησε τοῦτο. καθὸ καὶ ἐν τῷ νομίσματι, ἐφ᾽ οὗ μὲν πέλεκυς. ἐφ᾽ οὗ δὲ δύο πρόσωπα ἐξ ἑνὸς αὐχένος. οἱ δ᾽ ὅτι γυνῆσαι ἃ ἔπαθεν ὑπὸ τῆς μητρυιᾶς, μετὰ πελέκεως τὰς φονικὰς ἔκρινε δίκας.

Τερεβίνθου ἀνοητότερος.

ἐπὶ τῶν μωρῶν καὶ ἀναισθήτων. ἔστι δὲ τερέβινθος ὁ δροῦς.

Τερμέρεια κακά.

τὰ μεγάλα. τέρμια γὰρ ἡ ἡμέρα. ἐφ' ἧς μέλλει τὸ τέρμα τοῦ βίου εὑρήσειν.

Τέχνη ἄνευ τῆς ἀληθείας ἧφθαι, οὔτ' ἔστιν, οὔτε μή ποτε γένοιτο.

ἐξ ἀποφθέγματος.

Τέρμα δ' ὁρᾶν βιότοιο, σόλων ἱεραῖς ἐν ἀθήναις.

Τετράδι γεγόνας.

ἐπὶ τῶν ἄλλως πονούντων. καὶ γὰρ τὸν ἡρακλέα τε τετράδι γεννηθέντα εὐρυσθεῖ ταλαιπωρῆσαι. Φιλόχορος δὲ αὐτὴν τὴν ἐπὶ ἑρμοῦ δύνασθαι λέγεσθαι. διατεθεῖσθαι δὲ ἡρακλεῖ τὴν ἡμέραν, ἐν ταύτῃ εἰς θεοὺς μεταστάντι.

Τεττάρων ὀβολῶν ἄξιος.

ὁμοία τῇ ταρτημορίου ἄξιος. ἤτοι δίχαλκου. ἐπὶ τῶν οὐ πολλῆς τιμῆς ἀξίων.

Τέττιγος τρόπον.

ἐπὶ τῶν ποιούντων ἃ μὴ ὠφελοῦσιν αὐτούς, ἐώντων δὲ τὰ ὠφελοῦντα,

Τέττιγος εὐφωνότερος.

ἐπὶ τῶν μελῳδούντων.

Τεττιγοφόροι εἰ.

οἱ ἀθηναῖοι τέττιγας ἐφόρουν χρυσοῦς. σύμβολον τοῦ γηγενεῖς εἶναι ἢ μουσικούς. τεττίγων ἀνάμεστοι. μωροὺς τοὺς τέττιγας παρέλαβον ἀεὶ στοφάνης. ἐπειδὴ οἱ παλαιοὶ περὶ τὴν ἀναπλοκὴν τῶν τριχῶν, χρυσῷ ἐχρῶντο τέττιγι τεκμήριον, ὅτι αὐτόχθονες οἱ ἀθηναῖοι τέττιγες.

Τευμησία ἀλώπηξ καὶ κύων.

περὶ τῆς τευμησίας ἀλώπεκος, οἱ τὰ θηβαϊκὰ γεγραφότες, ἱκανῶς ἱστορήκασι. καθάπερ χρυσόδημος. ὑποπεμφθῆναι μὲν γὰρ ὑπὸ θεῶν τὸ θηρίον τοῦτο τοῖς καδμείοις. διότι τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ κάδμου γεγονότας. κέφαλον δέ φασι τὸν δηΐονος ἀθηναῖον ὄντα καὶ κύνα κεκτημένον. ὃν οὐδὲν διέφευγε τῶν θηρίων. ὃς ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα πρόκριν καθηράντων αὐτὸν τῶν καδμείων διώκειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός. καταλαμβανομένους δὲ περὶ τὸ τευμισόν. λίθους γενέσθαι, τόν τε κύνα καὶ τὴν ἀλώπεκα.

Τὴν ἀκεσαίου σελήνην.

περὶ τῶν διαμελλόντων καὶ βραδυνόντων. ἦν δὲ τελέως κυβερνήτης ὁ ἀκεσαῖος.

Τὴν ἐξούλης δίκην φεύγεις. οἱ νίκῃ νικήσαντες, ὥστε ἀπολαβεῖν τὶ χωρίον, ἢ ἀγρὸν ἢ τὶ τοιοῦτον καὶ μὴ ἐώμενοι, ἀνέτρεχον εἰς δικαστήριον αὖθις. καὶ εἰσῆγον δίκην, ἥ τις ἐκαλεῖτο ἐξούλη. ἐξέλλειν γὰρ οἱ παλαιοὶ τὸ ἀπελαύνειν καὶ κωλύειν ἔλεγον.

Τὴν χάρυβδιν ἐκφυγὼν τῇ σκύλῃ περιέπεσον.

ὁμοία τῷ ἔφυγον κακὸν εὗρον χεῖρον. λέγουσι περὶ σκύλης, ὡς ἦν τυῤῥηνία θηρίον τι. γυνὴ δὲ μέχρι τοῦ ὀμφαλοῦ. κυνῶν δὲ ἐντεῦθεν προσπεφύκασι κεφαλαί. τὸ δ᾽ ἄλλο σῶμα ὄφεως. τοιαύτην δὲ φύσιν γενέσθαι, πολὺ εὔηθες. ἡ δὲ ἀλήθεια αὕτη. τυῤῥηνίων νῆσοι ἦσαν. αἳ ἐλῃΐζοντο τὰ περίχωρα τῆς σικελίας καὶ τὸν ἰόνιον κόλπον. ἦν δὲ ναῦς τριήρης ταχεῖα τότε, ὄνομα σκύλα. αὕτη ἡ τριήρης τὰ λοιπὰ τῶν πλοίων συλλαμβάνουσα, πολλάκις εἰργάζετο βρῶμα. καὶ λόγος ἦν περὶ αὐτῆς πολύς. ταύτην τὴν ναῦν ὀδυσσεὺς σφοδρῷ καὶ λαύρῳ πνεύ

ματι

ματι χρησάμενος, διέφυγε. διηγήσατο δὲ ἐν λόγοις παρὰ ἀλκινόῳ, πῶς ἐδιώχθη καὶ πῶς διέφυγε. καὶ τὴν ἰδέαν τοῦ πλοίου. ἀφ᾽ ὧν προσανεπλάσθη ὁ μῦθος.

Τὴν λεοντὴν ἐνδύου. ἴσον παρὰ γονιάζου.

Τῆς μητρὸς ὡς αἲξ καλεῖται.

οἱ γὰρ βρέφοι ἐν τοῖς πωλίοις, ἀπὸ τῶν μητέρων γνωρίζονται. ἄλλ᾽ πρώτων γὰρ, ἀδύνατον.

Τῆς ὀρφέως ἀπόζεις κιθάρας ἐν παρὰ λέγειν,

ὁ ὀρφεὺς γέγονε μουσικός. θρᾷξ τὸ γένος ὃς λέγεται ὅτι οὕτως προσηνῶς ᾖδεν, ὥς τε ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ, τὰς δρῦς καὶ τῶν ζώων τὰ ἄλογα καὶ τοὺς λίθους καὶ τοὺς ποταμούς. τοῦτο δὲ ψεῦδές καὶ μῦθος. δοκεῖ δέ μοι ταῦτα εἶναι. βάκχαι μανεῖσαι, πρόβατα διέσπασαν ἐν τῇ πιερίᾳ. πολλὰ δὲ καὶ ἄλλα βιαίως εἰργάζοντο. τρεπόμεναί τε εἰς τὸ ὄρος, διέτριβον ἐκεῖ τὰς ἡμέρας. ὡς δὲ ἔμειναν, ἡ πόλις δεδιότες περὶ τῶν γυναικῶν καὶ θυγα-

τέρων. μεταπεμψάμενοι τὸν ὀρφέα, ἐδέοντο μηχανᾶσθαι, ὃν τρόπον καταγάγοι αὐτὰς ἐκ τοῦ ὄρους. ὁ δὲ, συνταξάμενος τῷ διονύσῳ ὄργια, κατάγει αὐτὰς βακχευούσας κιθαρίζων. αἱ δὲ, νάρθηκας τότε πρῶτον ἐχούσαι, κατέβαινον ἐκ τοῦ ὄρους, καὶ κλῶνας δένδρων παντοδαπῶν. τοῖς δ᾽ ἀνθρώποις θαυμαστὰ τότε θεασαμένοις, ἐνεφαίνετο πρῶτον ξύλα καταγόμενα. καὶ ἔφασαν. ὀρφεὺς κιθαρίζων ἄγει τὴν ὕλην ἐκ τοῦ ὄρους. καὶ ἐκ τούτου ὁ μῦθος ἀνεπλάσθη.

Τιθωνοῦ γῆρας.

ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται. ἱστορεῖται γὰρ ὅτι τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μεταβάλλειν.

Τίς ἐν κύδωνος.

ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους. ἀπὸ κύδωνος κορινθίου φιλοξένου διατεθέντος.

Τίς πατρίδ᾽ αἰνήσει, εἰ μὴ κακοδαίμονα τέκνα.

ἴσως ἐπὶ τῶν πρὸ γονικὰ ἀνδραγαθήματα προφερόντων.

Τιτανῶδες βλέπει.

καταπληκτικὸν φοβερόν.

Τίκτει κόρος, ὅταν κακῷ ἀνδρὶ παρείη
ἐπὶ τῶν ἐν εὐτυχίαις ἐπαιρομένων.

Τίς τῇδε.

οἱ σπένδοντες ἔλεγον, τίς τῇδε. ἀντὶ τοῦ τίς πάρεστι. οἱ δὲ παρόντες ἐπευφημούμενοι, ἔλεγον. πολλοὶ κἀγαθοί. τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα συνειδότες ἑαυτοῖς τὶ ἄτοπον ἐγχωροῖεν τῶν σπονδῶν.

Τίθει παρὰ χρυσοῦν κεραμεοῦν ποτήριον.

ὅτι τὸν εὐτυχήσαντα δεῖ μεμνῆσθαι τῶν ὅτε ἦν ἐν πενίᾳ. ὁ γὰρ ἀγαθοκλῆς ἦν υἱὸς κεραμέως. γενόμενος δὲ κύριος σικελίας. καὶ βασιλεὺς ἀναγορευθεὶς, εἰώθει κεραμεᾶ ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ. καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν. ὅτι τοιαῦτα ποιῶν πρότερον, νῦν ταῦτα ποιεῖ διὰ τὴν ἀμέλειαν καὶ τὴν ἀνδρίαν.

Τί οὐκ ἀπήγξω, ἵνα θήβησιν ἥρως γένῃ. οἱ γὰρ ἐν θήβαις ἑαυτοὺς διαχειρισάμενοι, πολλῆς τιμῆς ἠξιοῦντο.

Τί μικρῶν πέρι, μεγάλα φροιμιάζῃ;
ἐπὶ τῶν μακρολογούντων.

Τίς χρεία τεθνεωμένου ἱερομμύου.
ἐπὶ τῶν ἀχρήστων.

Τίς οὐ γνώσῃ τυγχάνων εἰς ἄρβελας.
ἄρβελαι πόλις σικελική. διεξαπάτηντο δὲ οἱ ἐνοικοῦντες ἐκεῖσε ἐδόκουν εἶναι.

Τιτυοῦ σε περιμένει καὶ ἰξίονος κολαστήρια.

ὁ τιτυὸς, ἠράσθη τῆς λητοῦς. καὶ ἐρασθεὶς, ἐκράτησεν αὐτὴν ἀπὸ τοῦ ἱερουδέμενου. εἶτα ἄρτεμις καὶ ἀπόλλων παῖδες ὄντες τῆς λητοῦς, κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον. καὶ νῦν φασὶν ἐν τῷ ᾅδῃ ἔχει τὰ βέλη ἐμπεπηγμένα, καὶ κολάζεται ἐκ τούτου. ὁ δὲ ἰξίων, ἠράσθη τῆς ἥρας. ἡ ἥρα προσαγγέλλει τῷ διΐ. ὁ δὲ ζεὺς βουληθεὶς γνῶναι εἰ ὄντως ἐρᾷ αὐτῆς, ἐξομοιοῖ νεφέλην τῇ ἥρᾳ καὶ ἔστησεν. ὁ δὲ ἰξίων νομίσας αὐτὴν εἶναι τὴν ἥραν συμμίγνυται αὐτῇ τῇ νεφέλῃ. καὶ ὀργισθεὶς ὁ ζεὺς, κολάζει αὐτὸν οὕτως τροχῷ διατείνας αὐτὸν, ἐποίησεν ἀεὶ φέρεσθαι τὸν τροχόν. καὶ ἔστιν ἀεὶ οὕτως ἀνακυκλούμενος.

μένος καὶ καταφερόμενος ταύτην τίνων τὴν τιμωρείαν.

Τὸ μηλιακὸν πλοῖον,

ὅθι τῶν ἄγαν εἰσρεόντων καὶ εἰσιόντων φησὶν ἀριστοτέλης, ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν, καταράσασθαι, μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ, καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.

Τοῦτο τὸ ὑπόδημα, ἔῤῥαψε μὲν ἱστιαῖος ὑπεδήσατο δὲ Ἀρισταγόρας.

ὅθι τῶν σκευωρούντων καὶ συῤῥαπτόντων μηχανὰς κλεπτιστάτας. ἱστιαῖος, σάμιος μὲν ἦν τὸ γένος. φίλος δὲ γενόμενος δαρείου τοῦ περσῶν βασιλέως, ἐλήφθη ὑπ' αὐτοῦ ἐν περσίδι. ἐκεῖ δὲ διαιτώμενος, ἐπεθυμεῖ ἰδεῖν τὴν οἰκείαν πατρίδα. μὴ ἀπολυόμενος δὲ, γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ ἀρισταγόρᾳ μελετῆσαι ἀπόστασιν. καὶ πείθει καί τινας τῶν ἰώνων ἀποστῆναι. πράττει δὲ οὕτως. λαβὼν πιστὸν οἰκέτην, καὶ τούτου τὴν κεφαλὴν ξυρήσας, ἐγχαράττει τῇ κεφαλῇ ὃ ἠβούλετο δηλῶσαι.

εἶτα μέλανι ἐγκαυστῷ τὴν χάραξιν μελαίνει καὶ ἀφῆκεν ἀνενεγκεῖν τὰς τρίχας. καὶ μετὰ τὸ κομᾶσαι αὐτὸν ἀπέπεμψε. λέγων τῷ οἰκέτῃ, πάλιν ἐκεῖσε ἀποξυρηθῆναι, ἵνα ἀναγνῷ ἀρισταγόρας τὰ γράμματα. ἀναγνοὺς τοίνυν ὁ ἀρισταγόρας καὶ μαθὼν, ἐποίησε τὴν ἀπόστασιν σχεδὸν πάντων τῶν ἰώνων. εἶτα μανθάνει ὁ περσίδος ὁ βασιλεὺς, καὶ σύμβουλος γίνεται παρὰ ἱστιαίου ὡς ἔλεγε, τί δεῖ ποιῆσαι. καὶ συμβουλεύεται παρὰ αὐτοῦ ἱστιαίου αὐτὸν πέμψαι εἰς τὴν ἀσίαν. ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποστάσεως. ἐλθὼν οὖν οἱ ἱστιαῖος εἰς τὴν ἀσίαν, καὶ ὡς ὕποπτος γενόμενος ὅλου τοῦ πράγματος, παρὰ τοῦ ἀρταφρένου τοῦ ὑπάρχου σάρδεων, ἤκουσε ταῦτα. ὑπόδημα δὲ λέγει, τὴν ὅλην κατασκευὴν τοῦ πράγματος.

Τὸ σκαμβὸν ξύλον, οὐδέποτ' ὀρθόν.

αὕτη δημώδης ἐστὶ καὶ φανερά. τάττεται δὲ ἐπὶ τῶν διάστροφα ξύλα ἢ πράγματα πειρωμένων κατευθύνειν καὶ μηδὲν ὠφελούντων.

Τοιοῦτο θεμιστοκλῆς οὔποτ' ἐπενόησε.

διὰ τὸ τειχίσαι τὸν πειραιᾶ. ἢ ὅτι σοφίας διά

ας δόξαν θεμιστοκλῆς ἀπηνέγκατο. λέγεται ἐπὶ τῶν ἄγαν ἐπαιρομένων ἐπὶ μικροῖς κατορθώμασι.

Τὸ καλὸν, φίλον ἀεί.

ἐπὶ τῶν τὸ συμφέρον αἱρουμένων.

Τοσοῦτον σχεδὸν ὅσον ἐκ διονυσίων.

ἐπὶ τῶν ἀποδοχῆς ἀξίας τυχόντων.

Τὸν οἴκοθεν βρεχόμενον, οὐδὲ θεὸς οἰκτείρει.

Τὸν κολοφῶνα ἐπέθηκα.

ἐπὶ μεγάλων πραγμάτων καὶ βεβαίου ψήφου τάσσεται. δώδεκα πόλεις τῆς ἰωνίας συνίεσαν περὶ τῶν κοινῶν βουλευσόμεναι. εἰ ἔ ποτε ἴσαι αἱ ψῆφοι ἐγένοντο, οἱ κολοφώνιοι περιττὴν τὴν νικῶσαν ἐτίθεντο. σμυρναίους γὰρ ἐλθόντας, συνοίκους ἐκέκτηντο. ὑπὲρ ὧν καὶ τὴν ψῆφον ἔθεντο. ὅθεν καὶ ἐπὶ τῆς κρατίστης καὶ βεβαίας ψήφου ἡ παροιμία εἴρηται.

Τὸν καπνὸν φεύγων, εἰς τὸ πῦρ ἔπεσον.

ἐπὶ τῶν τὰ μικρὰ τῶν δεινῶν φευγόντων, καὶ εἰς μείζονα ἐμπιπτόντων.

Τὸ κυνὸς κακὸν, ὗς ἀπέτισεν.

ἐπὶ ἄλλων μὲν ἁμαρτησάντων, ἄλλων δὲ δόντων δίκην.

Τοὺς πλέονας κακίους δὲ, Βίας ἀπέφην πριηνεύς.

Τοῦ κροίσου παιδὸς σιγηλότερος.

κροῖσος γὰρ ἐκέκτητο υἱὸν ἄφωνον.

Τὸ ἄρνιον σοι λελάληκεν.

ἐν αἰγίνῃ ὥς φασὶ ἀνθρωπείᾳ φωνῇ ἐχρήσατο καὶ εἶπε τὰ μέλλοντα.

Τὸ βασιλικὸν βοΐδιον.

ἐπὶ τοῦ πτολεμαίου, βοῦς ἀπέτεκεν ἐξ βοΐδια πρὸς οἰωνοῦ δὲ ἀγαθοῦ τὸ συμβησόμενον λαβὼν ὁ πτολεμαῖος, ἐν τοῖς βασιλείοις μετὰ πάσης ἐπιμελείας προσέταξε τρέφεσθαι. χρῆσαι δὲ τούτῳ, ἢ ἐπὶ τῶν θεραπείας πολλῆς ἀξιουμένων, ἢ ἐπὶ τῶν εὐτυχούντων.

Τὸ δίωνος γένος. οὗτος ὁ δίων, ἀλεξανδρεὺς μὲν ἦν τὸ γένος.

ἐπὶ φιλοσοφίᾳ δὲ προβαίνοντος. ἔχων δὲ ἀδελφὸν παλαιστὴν τὸ ψίον καλούμενον, λοιδορούμενος ὑπό τινος τῶν ἀνταγωνιστῶν αὐτοῦ, καὶ ἀκούων ἄῤῥητα ῥήματα, ἐπακολουθοῦν-

λυθοιῶντος καὶ ὄχλου πολλοῦ, αὐτὸς μὲν οὐδὲν ἐφθέγξατο κατεσταλμένον τὸ τῆς σοφίας παράγγελμα τηρῶν. ἐντὸς δὲ τοῦ ἰδίου πυλῶνος γενόμενος, καὶ μηδὲν ὀργῆς ὑπομείνας, εἶπε πρὸς τὸν νέον. οὐδὲ γρῦ. ὁ δὲ, ἀθυμήσας, ἀπήγξατο.

Τὸ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος, ἐν τῇ γλώσσῃ τοῦ μεθύοντος.

Τὸ ἱππάρχου τειχίον.

ἐπὶ τῶν δαπανηρῶν πραγμάτων. ἵππαρχος γὰρ ὁ πεισιστράτου παρὰ τὴν πυθίαν τεῖχος ᾠκοδόμησε. πολλὰ τοὺς ἀθηναίους ἀναγκάσας ἀναλῶσαι.

Τὸν ὕλλαν κραυγάζεις.

ἐπὶ τῶν μάτην πονούντων καὶ κραυγαζόντων. ἐπεὶ τὸν ὕλλαν ἀφανῆ γενόμενον, ἡρακλῆς ἀποβὰς τῆς νεὼς ἀργοῦς, ζητήσας οὐχ εὗρε.

Τὸ μὲν νόημα, τοῦ θεοῦ.

τὸ δὲ κλέμμ' ἐμόν. οὕτω γὰρ οἱ δημαγωγοὶ ἀσεβιζόμενοι ἔλεγον. ὁ μὲν θεὶς, ὑπέβαλεν. ὁ δ' ἐργασάμενος δὲ ἐγώ.

Τοῦ διὸς τὸν σάνδαλον.

ἐπὶ τῶν μεγάλα δή τινα προβαλλομένων νῶν καὶ καινά.

Τοῦ Βαύνος χοροῦ.

ἐπὶ τῶν ἀπλουστέρων καὶ ἀμαθῶν πρόσων ὁ Βαῦν κακοὺς ἐποίει τοὺς μαθητάς.

Τὸ μὲν ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται. τὸ δὲ σὸν, ἐν σοὶ παύεται.

παραπλήσια τῇ, ἐμοὶ μὲν τὸ γένος ἄτιμον, σὺ δὲ τῷ γένει. ἰφικράτης σκυτότομου υἱὸς πρὸς ἁρμόδιον τὸν τοῦ παλαιοῦ ἁρμοδίου ἀπόγονον εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον ἔφη τόδε.

Τοῦ σελίνου δεῖται.

ἐπὶ τῶν ἰσχυρῶς νοσούντων. οἱ γὰρ εἰώθασι στεφανοῦν σελίνοις τὰ μνήματα.

Τὸν ξύοντα ἀντιξύειν.

ἐπὶ τῶν βλαπτόντων ἢ ὠφελούντων τινάς. ἀπὸ μεταφορᾶς τῶν ὄνων. ἀλλήλους γὰρ ἀντικνήθουσιν.

Τρέχει τὴν ἐσχάτην.

ἐπὶ τῶν τὰ λοίσθια πνεόντων.

Τρὶς ἕξ. ἢ τρεῖς κύβοι.

οἱ μὲν τρὶς ἕξ, νικῶν, ἡ δὲ τρεῖς κύβοι κενοί.

Τρύγε-

Τρυγόνος λαλίστερος.

ἐπειδὴ καὶ αἱ τρυγόνες οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέρεσιν ἠχοῦσιν.

Τραγικὸς πίθηκος.

ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων.

Τροχιὸς τὰ ἀνθρώπινα. ἤγουν εὐμετάβολα.

Τρικέφαλε γηρυόνη.

ἐπὶ τῶν θηριογνωμόνων. φασὶ γὰρ γηρυόνην, ὡς τρικάρηνος ἦν. ἀδύνατον δὲ σῶμα τρεῖς κεφαλὰς ἔχειν. ἦν δὲ τοιόνδε τοῦτο. πόλις ἐστὶν ἐν τῷ εὐξείνῳ πόντῳ τρικαρηνία καλουμένη. ἦν δὲ γηρυόνης ἐν τοῖς τότε ἀνθρώποις ὀνομαστὸς πλούτῳ τε καὶ ἄλλοις διαφόρων. εἶχε δὲ καὶ βοῶν ἀγέλην θαυμαστήν. ἐφ' ἣν ἐλθὼν ἡρακλῆς, ἀντιποιούμενον γηρυόνην, ἔκτεινεν. οἱ δὲ θεώμενοι περιελαυνομένας τὰς βοῦς, ἐθαύμαζον. ἦσαν γὰρ τὸ μὲν μέγεθος, μικραί. αἱ δὲ κεφαλῆς ἐπὶ τῇ ὀσφύϊ, μικραὶ καὶ σιμαί. κέρατα οὐκ ἔχουσαι. ὀστᾶ δὲ μακρὰ καὶ πλατέα. πρὸς τοὺς πυνθανομένους οὖν ἔλεγον τινές, ἡρακλῆς ταύτας περιήλασεν οὔσας γηρυόνου τοῦ τρικαρηνίου. τινὲς δὲ ἐκ τοῦ λεγομένου, ὑπέλα-

βον αὐτὸν τρεῖς ἔχειν κεφαλάς.

Τυφλότερος ἀσπάλακος.

τοῦτο τὸ ζῶον οὐκ ἔχει ὀφθαλμούς. φασὶ δ᾽ αὐτὸ ἐκσίμβροτος ὑπὸ τῆς γῆς τυφλωθῆναι, διὰ τὸ φθείρειν τοὺς καρπούς. ἔχει γὰρ ὀδόντας μιαρωτάτους. καὶ ῥύγχον ὥσπερ γαλῆς. καὶ πόδας ὡς ἄρκτου.

Τυφῶνος πολυπλοκώτερον.

τυφῶν ὁ λεγόμενος κεραυνωθῆναι ὑπὸ τοῦ Διός. τούτου ποικιλώτερον.

Τυφλὸς τὰ ὦτα.

τόν τε νοῦν. τά τ᾽ ὄμματ᾽ εἶ.

Τυφλὸν ὄνειρον.

ἐπὶ τῶν ἀπατηλῶν.

Τυφογέρων.

ἐπὶ τῶν τυφομανῶν γερόντων.

Τῶν ἐρινεῶν φύλλων πλείονές εἰσιν οἱ συκοφάνται.

Τῶν ἀνεφίκτων μὴ ἐπιχείρει.

Τῶν καλῶν, καὶ τὸ μετόπωρον καλόν ἐστιν.

Εὐριπίδης τὸν καλὸν Ἀγάθωνα περιλαμβάνων ἐν τῷ συμποσίῳ καὶ καταφιλῶν

ἤδη

ἤδη γηρῶντα, πρὸς τοὺς φίλους εἶπε, μὴ θαυμάσητε, τὸ προοιμιῶδες τοῦτ᾽ εἰπών.

Τῶν δ᾽ ὄνων οὔ μοι μέλει.

Τῶν δυνατῶν τι μέλλουε.

οὐ γὰρ παρὰ κενταύροις.

Τῶν πλειόνων ἡ ψῆφος νικᾷ.

Τῶν ἀχαρίστων αἱ δωρεαὶ, ἀνατρέπονται.

Ὕβρεις ὕβριν ἔτικτε καὶ ψόγος ψόγον.

Ὕδρας κεφαλὰς τέμνεις.

ἐπὶ τῶν ἀμηχάνων. ἱστορεῖται γὰρ ἡ ὕδρα ὡς ἐν τῇ λέρνῃ οὖσα, ἔχουσα κεφαλὰς ἑκατόν. ὡς δὲ ἐπιταγῆς εὐρυσθέως ἐκελεύσθη ὁ ἡρακλῆς φονεῦσαι αὐτήν. καὶ εἰς μάχην σταθεὶς, καὶ τέμνων τὰς κεφαλὰς αὐτῆς. μιᾶς κοπτομένης πολλαὶ ἀνεφύοντο. καὶ οὐκ ἂν νικητὴς ταύτης ἀνεφάνη, εἰ μὴ ἰολάου τυχόντος ἐκεῖσε τὰς ἐκφυομένας κεφαλὰς κατακαίνοντος. τούτων δ᾽ εἴ τις πείθεται γενέσθαι, μάταιός ἐστι. τὸ δ᾽ ἀληθὲς, ὧδε ἔχει. λέρνος ἦν βασιλεὺς. ᾤκουν γὰρ πάντες οἱ ἄνθρωποι κατὰ κώμας. ἦσαν δὲ καὶ βασιλεῖς ἐφ᾽ ἑκάστῳ τῶν χωρίων τούτων. λέρνος δὲ ὁ τῆς περσέως, εἶχε τὸ μέγιστον καὶ πολυ

ἀνθρωποτάξον τῆς μυκήνης. ὁ δὲ λέρνος οὐκ ἤθελεν αὐτῷ ὑποτετάχθαι. ἐπολέμουν οὖν οἱ δύο διὰ τοῦτο. ἐν δὲ τῇ εἰσβολῇ τῆς χώρας, ἦν τῷ λέρνῳ πολίχνιόν τι καρτερόν, καὶ ἐφρούρουν αὐτὸ πεντήκοντα τοξόται ἀνδρεῖοι. οὓς ἐπήεσαν ὑπὲρ τῷ πύργῳ ἀδιαλείπτως νύκτα καὶ ἡμέραν. ὄνομα δὲ ἦν τῷ πολιχνίῳ, ὕδρα. πέμπει οὖν εὐρυσθεὺς ἡρακλέα, καὶ πολιορκεῖ αὐτὸ τὸ πολίχνιον. οἱ δὲ ὑπὲρ τῷ πύργῳ, ἐπυρπόλουν τοὺς κάτω. ὁπότε δέ τις πληγεὶς πέσοι, ἀνέβαινον δύο τοξόται ἀνθ' ἑνός, ἐπειδὰν ἀνδρεῖος ἦν ὁ προανηρημένος. ἐπεὶ δὲ συνείχετο ὁ λέρνος ὑπὸ ἡρακλέους τῷ πολέμῳ, μισθοῦται ὀθνεῖον στρατόν. ἦλθε δὲ αὐτῷ ἄγων τὴν στρατιάν, καρκῖνος ὄνομα τῷ ἀνδρί. μέγας τὴν ἰσχὺν καὶ πολεμικὸς καὶ σὺν τούτῳ ἀντεῖχον πρὸς τὸν ἡρακλέα. εἶτα βοηθεῖ ὁ ἰόλαος ὁ ἰφικλέους, ἀδελφιδοῦς ὢν τῷ ἡρακλεῖ. ἔχων στρατιὰν ἀπὸ θηβῶν. καὶ τὸν περιφυκότα πύργον πρὸς τῇ ὕδρᾳ προσελθὼν, ἐνέπρησε. καὶ σὺν ταύτῃ τῇ δυνάμει ἐπόρθησεν αὐτοὺς ὁ ἡρακλῆς. καὶ τὴν ὕδραν ἀναιρεῖ. καὶ τὴν στρατιὰν ἀπόλλυσι τοῦ γενομένου,

μένου, ὁ μῦθος ἀνεπλάσθη. καὶ γράφουσι τὴν ὕδραν ὄφιν. καὶ τὸν μῦθον ἀναπλάττουσι.

Ὑδροφορίαν ἄγεις.

ἑορτὴ ἦν πένθιμος ἀθήνησιν, ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολλομένοις. ὡς ἀπολλώνιος.

Ὕδωρ αὐτοπαγές.

τὸ συνεστηκὸς ἐν τοῖς ἱεροῖς. ἢ τὸ αὐτομάτας πηγὰς ἔχον.

Ὕδωρ δὲ πίνων, χρηστὸν οὐδὲν ἂν τέκοις.

τοῦτο δὲ ἐπὶ γράμματος ἦν μέρος, οἱ μὲν ἀσκληπιάδου. οἱ δὲ, θεαιτήτου φασί.

Ὕδωρ παραῤῥεῖ.

ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει ἀπελάσειν. ὡς καὶ εἰσρέοντα πλοῖα ἐμβῆναι, οὐκ ὀκνησάντων.

Ὑπὲρ τὸν κατάλογον.

ἐπὶ τῶν γεγηρακότων.

Ὑπὲρ τὰ καλλικράτους.

ἐπὶ πλουσίων. πλούσιος γὰρ οὗτος ἐν κορίνθῳ.

Ὑπεψωισμένη. ἀκμαία πρὸς τόκον.

ἀπὸ μεταφορᾶς τῶν σύκων τῶν διὰ τοὺς ψῆνας πεπείρων.

Ὑποβολιμαῖος εἶ. ἐπὶ τῶν εὐτελῶν. ἀπὸ τῶν ὑποβαλλομένων παιδίων καὶ χαμαιρρίφων ἅπερ ἑαυτῶν ἀποβάλλουσιν ἢ ὑποβάλλουσιν αἱ γυναῖκες.

Ὑποζυγιώδης ἄνθρωπος.

ὁ μὴ ἐκ τῆς αὐτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως, ὥσπερ καὶ τὰ ὑποζύγια. εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα.

Ὑπὸ παντὶ λίθῳ, σκορπίος. ἐλλείπει, ὕπεστι.

λέγεται ἐπὶ τῶν κακοήθων καὶ ἐριστικῶν.

Ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶς.

ὅμοιον τῷ ὑπερβάθμιον πόδα τείνεις. εἴρηται ὑπὸ πεντάθλου τοῦ κροτωνιάτου. ὃς πεντήκοντα ποδῶν ὄντων περαιτέρων τῶν ἐσκαμμένων. πρῶτος ταῦτα ὑπερέβαλε τοῖς πηδήμασι. ὡς τὸ ἐπίγραμμα λέγει.

Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε φάϋλλος, δίσκευσεν δ' ἑκατὸν πέντ' ἀπολειπομένων.

Ὑπὲρ

ὑπὲρ τῶν ὅλων ἀναῤῥίπτεις τοὺς κύβους.

οἱονεὶ ὑπὲρ τῶν ὅλων ἀγωνίζῃ καὶ κινδυνεύεις.

Ὑπέρου περιτροπή.

ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων.

Ὑπέρου γυμνότερος.

καὶ ὑπέρου πολλῷ φαλακρότερος.

Ὑπόχαλκον τὸ χρυσίον.

ἐπὶ τῶν κεκιβδηλευμένων.

Ὑπηνέμια τίκτει.

τὰ ψευδῆ καὶ ἀβέβαια.

Ὑπὲρ τὸν ὑπέρβολον.

φιλόδικος οὗτος ἦν.

Ὑπὲρ ὄνου σκιᾶς.

ἐπὶ τῶν ὑπὲρ μηδενὸς χρησίμου φιλοτιμουμένων. λέγουσιν ὅτι δημοσθένης ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος, οὐκ ἀνεχομένων τῶν δικαστῶν, εἶπεν. ἀκούσατέ τι ὦ ἄνδρες διηγήματος τερπνοῦ. νεανίσκος ποτὲ ἀθήνηθεν εἰς δελφοὺς ὄνον ἐμισθώσατο. μεσημβρίας δὲ καταλαβούσης, καταλύσας τὸν γόμον, ὑπέδυ τῇ σκιᾷ τοῦ ὄνου. ἐκβαλλόμενος δὲ ὑπὸ τοῦ ὀνηλάτου, μὴ καὶ τὴν σκιὰν

μεμισθῶσθαι λέγοντος, εἰσῆλθον εἰς τὸ δικαστήριον ἀμφότεροι. εἰπὼν ταῦτα ὁ Δημοσθένης, κατέβαινεν ἐκ τοῦ βήματος. ἀξιούντων δὲ τῶν δικαστῶν τὸ τέλος τῆς δίκης μαθεῖν εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος. ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν ὦ ἄνδρες, ἐπιθυμεῖτε. ἀνθρώπου δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς, οὐδὲ φωνῆς ἀνέχεσθε. τούτῳ καθαψάμενος τῶν κριτῶν, τὸν κατηγορούμενον περιέσωσεν.

Ὗς ὑπὸ ῥόπαλον. ἡ παροιμία παρὰ δεῖν ὀλόχῳ.

ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλόντων.

Ὗς διαροίδων.

ἐπὶ τῶν σκαιῶν καὶ ἀπαιδεύτων κράτης.

Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

ὅμοιον τοῦ κράτητος.

Ὑφάντου πταίσαντος ὑπάντης ἐτύφθη.

ὅτι πολλάκις ἄλλοι μὲν πταίουσιν. ἄλλοι δὲ ἀπολαμβάνουσιν.

Φαλέκιον ποίημα. αὐτοσχέδιον.

ἐπὶ τῷ φαλῷ ᾀδόμενον.

Φαλάριδος ἀρχὴ καὶ ἀχέτου.

ἐπὶ

ἐπὶ τῶν ἀπηνῶς ἀρχόντων.

Ἄχετος τῆς ἠπείρου κατῆρχε τύραννος. οὗτος ὠμότατος ὤν, ἐπενόει παντοίας τιμωρίας καὶ κολαστήρια. πρὸς τοῦτον οἱ θέλοντες ἀφειδῶς κολάσαι διέπεμπον. ὡς καὶ ὁ ποιητὴς περὶ αὐτοῦ.

Εἰς ἄχετον βασιλῆα βροτῶν δηλήμονα πάντων.

Ὁ δὲ φάλαρις, πικρός τις ἦν καὶ οὗτος. καινοτέρων κολαστηρίων γέγονεν εὑρετής. ἦν δὲ τὸ γένος σικελιώτης. οὗτος διονυσίῳ τῷ τυράννῳ χαριζόμενος ὄντι ὠμοτάτῳ καὶ τιμωρητικῷ, ἐπενόησε βοῦν χαλκοῦν, ἐν ᾧ ἔδει βάλλειν τοὺς κολαζομένους καὶ πῦρ ἀνακαίεσθαι. ἵνα ἔνδον ὄντες διατρεχούσης τῆς φωνῆς διὰ τοῦ στόματος τοῦ ταύρου, δόξῃ ὁ ταῦρος καιόμενος μυκηθμὸν ἀποτελεῖν. τούτου δὲ τοῦ φαλάριδος τὸ ἀπάνθρωπον θεασάμενος ὁ διονύσιος, αὐτὸν τοῦτον ἐνέβαλεν εἰς τὸν βοῦν. καὶ καύσας ἀπέκτεινεν ἐν τοῖς ἑαυτοῦ μηχανήμασιν.

Φασηλιωτῶν θῦμα.

ἐπὶ τῶν εὐτελῶν τίθεται. φασηλιώτας

γὰρ τὰ τεῖχος τῷ κολάβρῳ θύειν φησὶν ὁ Καλλίμαχος.

Φάων ὑπάρχεις τῷ κάλλει καὶ τὸν τρόπον. ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων. τοῦ γὰρ φάωνος ἐρασθῆναι φασὶ τὴν σαπφὼ. οὐ τὴν ποιήτριαν, ἀλλὰ τὴν λεσβίαν. καὶ ἀποτυγχάνουσαν, ῥῖψαι ἑαυτὴν ἀπὸ τῆς λευκάδος πέτρας. τῷ δὲ φάωνι βίος ἦν, πορθμεῖον ἔχειν καὶ θάλατταν. πορθμὸς ἦν θάλασσα. ἔγκλημα δὲ οὐδὲν παρ' οὐδενὸς ἐνομίζετο. ἐπεὶ καὶ μέτριος ἦν. καὶ παρὰ τῶν ἐχόντων μόνον ἐδέχετο. θαῦμα ἦν τοῦ τρόπου παρὰ τοῖς λεσβίοις. ἐπαινεῖ τὸν ἄνθρωπον ἡ θεός. ἀφροδίτην λέγουσι τὴν θεόν. καὶ ὑποδῦσα θέαν ἀνθρώπου γυναικὸς ἤδη γεγηρακυίας, τῷ φάωνι διαλέγεται περὶ πλοῦ. ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι καὶ διακομίσαι καὶ μηδὲν ἀπαιτῆσαι. τί οὖν ἐπὶ τούτοις ἡ θεός. ἀμεῖψαι φασὶ τὸν ἄνθρωπον. καὶ ἀμείβεται νεότητι καὶ κάλλει τὸν γέροντα. οὗτος ὁ φάων ἐστὶν, ἐφ' ᾧ τοὺς ἔρωτας αὐτῆς ἡ σαπφὼ πολλάκις ᾆσμα ἐποίησεν.

Φιλοτι-

Φιλοτιμοῦνται ὡς μεμφέντες τοῖς ἐν Ἴσιδος πλοκάμοις.

Ἐπὶ Θηβαῖοι τοῖς τοῦ γηρυόνου ὀστοῖς. ἐπὶ τεγέαται τῷ τοῦ καλυδωνίου δέρματι.

Φιλίππου ἀλεκτρυών. ὄνομα στρατηγοῦ.

ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασι ἀλαζονευομένων.

Φιλάψιος ὁδὲ τὸν τρόπον.

ἐπὶ τῶν φιλοπαιγμόνων. οὗτος γὰρ μεταξὺ τῶν δημηγορειῶν μύθους ἔλεγε. κεκωμώδηται δὲ εἰς πανουργίαν.

φοινίκων συνθῆκαι. οἱ τὴν καρχηδόνα κτήσαντες φοίνικες, ὅτε προσέπλευσαν τῇ λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων δέξασθαι αὐτοὺς νύκτας καὶ ἡμέρας. ἐπιτυχόντες δὲ τούτου, οὐκ ἐβούλοντο ἀλλάσσεσθαι. ὡς συντιθέμενοι νύκτας καὶ ἡμέρας μένειν. διὸ λέγεσθαι τοῦτο, ἐπὶ τῶν ἐνεδρευτικῶς συντιθεμένων. τὰ δ' ὅμοια καὶ δήμων ἐπὶ μεταποντίνων ἱστορεῖ.

Φόνου πτερὸν ἢ θανάτου πτερόν.

ὀϊστὸς λέγεται.

Φοινικήϊα γράμματα.

ἤγουν ἀρχαιότατα. λυδοὶ καὶ ἴωνες τὰ γράμματα, ἀπὸ φοίνικος ἀγήνορος τοῦ εὑρόντος. τούτοις δὲ ἀντιλέγουσι κρῆτες. ὡς εὑρέθη ἀπὸ τοῦ γράφειν ἐν φοινίκων πετάλοις. σκάμων δ' ἐν τῇ δευτέρᾳ τῶν εὑρημάτων, ἀπὸ φοινίκης τῆς ἀκταίωνος ὀνομασθῆναι. μυθεύεται δ' οὗτος, ἀρσένων μὲν παίδων, ἄπαις. γενέσθαι δὲ αὐτῷ θυγατέρας. ἀγλαυρὴν. ἕρσην. πάνδροσον. τὴν δὲ φοινίκην ἔτι παρθένον οὖσαν, τελευτῆσαι. διὸ καὶ φοινικήϊα γράμματα τὸν ἀκταίονα εἰπεῖν, βουλόμενον τινὸς τιμῆς ἀπονεῖμαι τῇ θυγατρί.

Φορμίωνος στιβάς.

ἐπὶ τῶν εὐτελῶν.

Φοινίκων αὖθις ἐπιθυμεῖ.

ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίγνεται.

Φοβερὸν καὶ τὸ παθεῖν ὑπὸ τυράννου καλῶς.

Φοβερώτερόν ἐστι στρατόπεδον ἐλάφων, ἡγουμένου λέοντος, ἢ λεόντων ἐλάφου.

χαβρίας εἴωθε λέγειν τοῦτο.

Φοίβου πότ' οὐκ ἐῶντος, ἔσπειρε τέκνα.

ἐπὶ τῶν

ἐπὶ τῶν ἐχόντων θυγατέρας ἀμορφοτάτας

φρουρὰς ἄλλων.

ἐπὶ τῶν ἀγρυπνούντων.

φρουρεῖν ἢ πλουτεῖν.

ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων.

φρουρήσειν ἐν ναυπάκτῳ.

ὅτι λόγος, μισθὸς ἐδίδοτο τοῖς ναύπακτον φρουροῦσι. τῶν ἐπὶ τηλείων πολλῶν πιπρασκομένων. ὅτι φίλιππος ἑλὼν ναύπακτον ἀχαιῶν γνώμη, τοὺς φρουροὺς αὐτοὺς ἀπέκτεινε πάντας.

φροῦδον γὰρ ἤδη τὸ κακὸν, μείων λόγος.

φρὺξ μηδὲν ἧττων πινδάρου.

οὗτος ὁ πίνδαρος κωμωδεῖται ὡς βάρβαρος καὶ φρύξ.

φρὺξ ἀνὴρ πληγεὶς ἀμείνων καὶ διακονέστερος.

ἐπεὶ δοκοῦσι ἀργότεροι καὶ νωχελέστεροι εἶναι οἱ φρύγες οἰκέται. φρυνώνδας ἄλλος.

ἐπὶ τῶν πονηρῶν. καὶ ἀριστοφάνης ἐν ἀμφιάρεω. ὦ μιαρὲ καὶ φρυνώνδα καὶ πονηρὲ σύ. λέγεται δὲ καὶ ἐπὶ τῶν μάγων. ὡς δίδυμος φησί.

Φρυνίχου πάλαισμα.

Φρύνιχος στρατηγὸς Ἀθηναίων. οὗ στρατηγοῦντος, Ἀθηναῖοι ἡττήθησαν. καὶ πολλὰ αὐτῷ ὡς προδόντι τὸν πόλεμον προσεκρούσθησαν.

Χαλεπὰ τὰ καλά.

Ψιττακὸν ἀποτιθέμενον τὴν ἀρχὴν, πρὸς τοὺς θαυμάζοντας εἰπεῖν, χαλεπὸν ἐσθλὸν ἔμμεναι. Σόλωνα δὲ μαλακίαν αὐτοῦ καταγνόντα, φάναι χαλεπὰ τὰ καλά. φασὶ δὲ Περίανδρον τὸν Κορίνθιον, κατ᾽ ἀρχὰς μὲν εἶναι δημοτικόν. ὕστερον τὴν προαίρεσιν μεταβαλόντα, τυραννικὸν γενέσθαι. ὅθεν ἡ παροιμία. οἱ δὲ, τὰ χαλεπὰ, ἀντὶ τοῦ ἀδύνατα τιθέασιν. ὡς μὴ δὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.

Χαλάσω τὴν ἱερὰν ἄγκυραν.

ἐπὶ τῶν ἐν κινδύνοις φευγόντων εἴς τινα δυνατόν.

Χαλεπὸν χορείου κυναγεύειν.

ἐπὶ τῶν ἀπὸ μικρῶν κακῶν χωρούντων εἰς μεγάλα. τὸ ἔλυτρον τοῦ ἐμβρύου, χόριον καλεῖται. οἱ δὲ κύνες γευσάμενοι τούτου, καὶ τοῖς ἐμβρύοις διὰ τὸ λίχνον ἐπιβουλεύουσι.

Χαμαι-

Χαμαιλέων, ζῶον ἐστί.

εἰς πάντα τὴν χρόαν μεταβέπων, πλὴν τοῦ λευκοῦ.

Χαραδριός.

ἐπὶ τῶν ἀποκρυπτομένων. ἐπεὶ γὰρ οὗτος τοὺς ἰκτεριῶντας ὠφελεῖ ὀφθείς, διὸ οἱ πωλοῦντες κρύπτουσιν. ἵνα μή τις πρὸ τοῦ ὠνήσασθαι, ἰαθῇ. οἱ δὲ φασίν, οὐ τοὺς ἰδόντας τὸν χαραδριόν, ἀλλὰ τοὺς φαγόντας τὴν νόσου παύεσθαι.

Χάρητος ὑποσχέσις.

ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων, μηδαμῶς δέ, ἢ δυσκόλως παρεχόντων. χάρης γὰρ ὁ στρατηγὸς ἀθηναίων, δύχερής τε ἦν ἑτοιμότατος πρὸς τὰς ὑποσχέσεις ἐγένετο.

Χαῖρε ὦ φίλον φῶς.

γυναῖκα βουλομένην ἀκολασταίνειν, σβέσασαν τὸν λύχνον, φασὶ τοῦτο εἰπεῖν. ἕτεροι δὲ γραῦν.

Χαιρεφῶν αὐτόχρημα.

ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν. καὶ ἐπὶ τῶν διεστώτων ἐκ τῶν ἀδελφῶν. οὗτος γὰρ σφόδρα ἤχθρευσε τῷ ἀδελφῷ. οὓς ὁ σωκράτης συνῆγε λέγων, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἶη

εἰ μὴ συμφωνοῖεν. οὐδὲ χειρῶν οὐδὲ ποδῶν.

Χάρης ἄδων ὄρθιον.

ἐπὶ τῶν εὐφώνων. ὁ γὰρ χάρης, αὐλητικὸς νόμος οὕτω καλούμενος. εὔτονος καὶ ἀνάτασιν ἔχων. καὶ ὅμηρος. ἔνθα στᾶσ᾽ ἤυσε θεὰ μέγα δεινόν τ᾽ ὄρθι᾽ ἀχαιοῖς.

Χελώνη μυῶν.

ἐπὶ τῶν ἀφροντίστων τινός. περὶ δὲ ἀγαμέμνονι διὰ περσί του παῤῥησίας ἔλαττον ἔμελλεν, ἢ χελώνη μυῶν.

Χειμὼν ὀρνιθίας. σφοδρός.

ἐν ᾧ τὰ ὄρνεα φθείρεται. λέγεται καὶ ἄνεμος ὀρνιθίας.

Χειρώνειον ἕλκος.

ἤτοι ἀνήκεστον.

Χειμάσει ποτὲ καὶ ἐφ᾽ ἡμᾶς ἡ ἀπὸ τῶν ὀρῶν νεφέλη.

ἐπὶ τῶν προσδεχομένων τινὰ κακὰ μετ᾽ ὀλίγον ἐλευθησόμενα. φάβιος μάξιμος, ἀννίβα μάχεσθαι μὴ βουλόμενος, ἀλλὰ τρίβειν χρόνῳ τὴν δύναμιν αὐτοῦ, καὶ χρημάτων ἐνδεᾶ καὶ σιτίων οὖσαν, ἐπηκολούθει διὰ τῶν τραχέων καὶ ὀρεινῶν ἀντιπαρεξιών. καταγελῶν

γελώντων δὲ τῶν πολλῶν, καὶ παιδαγωγὸν ἀννίβα καλούντων, μικρὰ φροντίζων ἐχρῆτο τοῖς αὐτοῦ λογισμοῖς. καὶ πρὸς τοὺς φίλους ἔλεγεν. ὅτι τὸν σκώμματα φοβούμενον καὶ λοιδορίας, δειλότερον ἡγεῖται τοῦ φεύγοντος τοὺς πολεμίους. ἐπεὶ δὲ τοῦ συνάρχοντος μινουκίου καταβαλόντος τινὰς τῶν πολεμίων, πολὺς ἦν λόγος, ὡς ἀνδρὸς ἀξίου τῆς ῥώμης, μᾶλλον ἔφη τὴν εὐτυχίαν ἢ τὴν ἀτυχίαν τοῦ μινουκίου φοβεῖσθαι. καὶ μετὰ μικρὸν ἐνέδρᾳ περιπεσόντος, καὶ κινδυνεύοντος ἀπολέσθαι μετὰ τῆς ἑαυτοῦ δυνάμεως, ἐπιβοηθήσας, τῶν τε πολεμίων πολλοὺς διέφθειρε κἀκεῖνον ἔσωσεν. ὁ μὲν οὖν ἀννίβας εἶπε πρὸς τοὺς φίλους. οὐ πολλάκις ὑμῖν προὔλεγον ἐγὼ τὴν ἀπὸ τῶν ὀρῶν νεφέλην, ὅτι χειμάσει ποτὲ ἐφ᾽ ἡμᾶς.

Χεῖρας ἔχει Φιλοποίμην καὶ σκέλη.
γαστέρα δὲ οὐκ ἔχει.

Ἐπὶ τῶν πολλοὺς μὲν ἱππεῖς καὶ ὁπλίτας ἐχόντων, χρημάτων δὲ οὐκ εὐπορούντων. κοΐντος εἶπε πρὸς Φιλοποίμενα. καὶ γὰρ καὶ τῇ φύσει τοῦ σώματος, τοιοῦτος ἐτύγχανεν.

Χθόνια λουτρὰ, τὰ τοῖς νεκροῖς ἐπιφερόμενα.

ἐκόμιζον γὰρ εἰς τάφους λουτρά.

Χίλων δ' ἐν κοίλῃ λακεδαίμονι γνῶθι σαυτόν.

Χοὰς ἐξ χωρήσει.

ἐπὶ τῶν παραπλήγων. τουτέστιν ὁ ἐγκέφαλος αὐτοῦ. ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ. ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ, τῶν ἐμπεφρακότων ἀποβεβλημένων.

Χορὸν δίδωμι.

ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν. παρὰ γὰρ τοῖς ἀθηναίοις χοροῦ ἐτύγχανον. κωμῳδίας γὰρ καὶ τραγῳδίας ποιηταὶ, οὐ πάντες, ἀλλ' οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντος ἄξιοι.

Χρήματ' ἀνὴρ. πενιχρὸς δ' οὐδὲ ποτ' ἐσθλός.

ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων. αὕτη δὲ ἀποφθεγματική ἐστιν. ὡς καὶ ἡ ἀρχὴ ἄνδρα δείκνυσι. καὶ ἡ κατὰ σαυτὸν ἔλα. καὶ ἡ γνῶθι σαυτόν.

Χροὶ δῆλα.

φασὶ φερεκύδην τὸν σοφὸν, φθειριασίᾳ

τελευ-

τελευτῆσαι. πυθαγόρου γὰρ παραγγελλομένου καὶ πυνθανομένου πῶς διακέοιτο, προβάλλοντα τῆς θύρας τὸν δάκτυλον, εἰπεῖν. χροὶ δῆλα. καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλοσόφοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται. οἱ δὲ καὶ ἐπὶ τῶν βελτίστων χρώμενοι, διαμαρτάνουσι.

Χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.
ἐπὶ τῶν πολλὰ λεγόντων.

Χρυσὸς κολοφώνιος.

οἱ κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάζοντο. καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν κολοφώνιον χρυσόν.

Χρυσοχοήσειν ᾤου σύ.

κέχρηται τῇ παροιμίᾳ πλάτων. τί δὲ ἦ δ' ὅς. ὁ θρασυμάχου χρυσοχοεῖ. ἔλαβε δ' ἀρχὴν ἐντεῦθεν. ἐπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν ἀθηναίων, ὡς ἐν ὑμηττῷ χρυσοῦ ψῆγμα πολὺ φανείη, καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ, ἀναλαβόντες ὅπλα, ἐξέθεον ἐπ' αὐτούς. ἄπρακτοι δὲ ὑποστρέψαντες, καὶ μάτην κακοπαθήσαντες, ἔσκωπτον ἀλλήλους. λέ-

γοντες, σὺ δὲ ᾤου χρυσοχοήσειν. ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας, χρυσοχοήσειν. ἤγουν πλουτήσειν. ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν. εὔβουλος γοῦν φησί. ὑμεῖς ποτ᾽ ἄνδρας κεκροπίδας ἐπείσαμεν λαβόντας εἰς ὑμηττὸν ἐξελθεῖν ὅπλα.

Χρυσῷ καταπάττων ἡμᾶς οὐ γινώσκεις.

ἐπὶ τῶν εἰκῆ λοιδορουμένων. ἐπὶ φορῷ γνώσῃ δὲ κόσμος τοῦτ᾽ ἐστί μοι.

Χύτραις λημᾶν καὶ κολοκύνταις.

ἐπὶ τῶν ἀμβλυωττόντων.

Χύτραν ποικίλλειν.

ἐπὶ τῶν ἀδυνάτων.

Χύτρεους θεός.

ὀστράκινος. εὐτελής.

Χωεῖς τὰ μυσῶν καὶ φρυγῶν

ἐπὶ τῶν ἐναντίων. ὁμοία τῇ χωεῖς τὰ μεγξᾶς καὶ σιλωὰμ ῥεύματα.

Χωρίς, τό, τ᾽ εἰπεῖν πολλά, καὶ τό, καίρια.

Ψυδρῶν πλέ᾽ ἀτράφαξις.

ἀντὶ τοῦ πλήρης ψυδρισμάτων. ἀτράφαξις δέ, εἶδος λαχάνου. ὃ ταχέως

εἰς μεγ-

εἰς μέγεθος αὔξεται. εἴρηται δὲ ἐπὶ τῶν μετεωριζομένων καὶ ὑψουμένων.

Ψευδόμενον, οὐ χρὴ ἐλέγξαι, διὰ τὸ συμβησόμενον ἄτοπον.

Ψεκὰς ἡ δρόσος.

οὕτως ἐκαλεῖτο ἀντίμαχος, πηλυελώδης ὤν. οὗτος δὲ μελῶν ἦν ποιητής. οὕτω δὲ ἐκαλεῖτο, διότι προσέῤῥαινε τοῖς ὁμιλοῦσι διαλεγόμενος. ἐδόκει δὲ ὁ ἀντίμαχος ψήφισμα πεποιηκέναι, ὅτι τὸ ἱερὸν πῦρ, οὐκ ἔξεστι φυσῆσαι.

Ψευδόπυρα οἷον τὰ σά.

ταῦτα διὰ νυκτὸς γίνεται πρὸς τὴν τῶν πολεμίων κατάπληξιν.

Ψύρα τὸν διόνυσον.

τὰ ψύρα, εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ, πλησίον χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν, ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων. λέλεκται δὲ καὶ ἐπὶ τῶν εὐτελῶν σημαινόντων.

Ὠδινεν ὄρος. εἶτα μῦν ἀπέτεκεν. ὅταν ἐλπίσας τις μεγάλα, μικροῖς ἐντύχῃ.

Ὦ οἵα κεφαλὴ καὶ ἐγκέφαλον οὐκ ἔχει.

ἐπ' ἀνδρῶν μεγαλοπρεπῶν μὲν τῷ σώματι, κατὰ ψυχὴν δὲ ἀλογίστων.

Ὦ οὗτος. κἂν θύλακξ γένῃ, προσελεύσομαί σοι.

ἐπὶ τῶν ἅπαξ πειραθέντων μοχθηρίας τινῶν, οὐκέτι δὲ ἐξαπατωμένων τῇ πείρᾳ, ταῖς αὐτῶν ὑποκείσεσιν.

Ὠοῦ ἐξῆλθεν.

ἐπὶ τῶν ὡραιοτάτων. ὁ γὰρ Ζεὺς ὁμοιωθεὶς κύκνῳ, ἐμίγη τῇ λήδᾳ. καὶ ἐγέννησε δύο ὠά. ἐκ μὲν τοῦ ἑνὸς ὠοῦ, οἱ διόσκουροι ἐγεννήθησαν κάστωρ καὶ πολυδεύκης. ἐκ δὲ τοῦ ἑτέρου, ἡ ἑλένη ἡ πάγκαλλος. ὅθεν τὸ ἐξ ὠοῦ ἐγεννήθη.

Ὡραιότερος ὑακίνθου.

οὗτος ἀμικλαῖον ἦν μειράκιον καὶ καλόν. εἰς τοῦτον εἶδε μὲν ὁ ἀπόλλων. εἶδε δὲ ὁ ζέφυρος. καὶ ἀμφωκρατείχοντο τῇ μορφῇ. καὶ φιλότιμος ἦν, ἀφ' ὧν εἶχεν ἑκάτερος. ἐτόξευε μὲν ὁ ἀπόλλων. ἔπνει δὲ ὁ ζέφυρος. μέλη μὲν ἦν τὰ πρὸς ἐκείνου ἡ ταραχή. ῥέπει πρὸς τὸν δαίμονα τὸ μειράκιον. καὶ ζέ-

φυρον

ρου ὑπὸ ζηλοτυπίας ὅπλιζε πρὸς πόλεμον. μετὰ ταῦτα ἦν γυμνασία τοῦ μειρακίου καὶ τιμωρεία παρὰ ζεφύρου. δίσκος ἦν ὁ πρὸς τὴν ἀναίρεσιν ἐκείνου διακονήσας. ὑπὸ τούτου μὲν ἀφεθεὶς, ὑπ' ἐκείνου δὲ ἐνεχθεὶς. καὶ ὁ μὲν, ἐτεθνήκει. τὴν γῆν δὲ οὐκ ἦν ἔρημον ὑπομνήματος ἀφεῖναι τὴν συμφοράν. ἀλλὰ τὸ ἄνθος ἀντὶ τοῦ μειρακίου γίνεται. καὶ τοὔνομα δέχεται. λέγουσι δ' ὅτι καὶ ἡ προσηγορία ἐν φύλλοις ἐπιγέγραπται.

Ὥσπερ ἥρως ἐν ἀσπίδι ξενίσαι
Βούλομαι.

λέγεται ἐπὶ τῶν τοὺς φίλους τοῖς ἑαυτῶν ἔργοις εὐεργετούντων.

Ὠσὶν ἑστῶσιν.

ἐπὶ τῶν πρὸς τὸ ἀκοῦσαι τὰ ὦτα εὐτρεπιζομένων.

Ὡς παῖδα φιλοῦσιν ἐρασταί.

ἐπὶ τῶν ἐρωτικῶς διακειμένων.

Ὥσπερ παλαιὰν εἰρεσιώνην
καύσεται.

ἐπὶ τῶν ἰσχνῶν καὶ ξηρῶν καὶ φθει-

μένων ταχέως. ἡ δὲ νέα εἰρεσιώνη, θαλλὸς ἦν ἐλαίας ἐστεμμένος ἐρίοις. καὶ προσηρτημένους ἔχων παντοδαποὺς τῶν ἐκ γῆς καρπῶν. τοῦτον δὲ ἐκφέρει παῖς ἀμφιθαλής, καὶ τίθησι πρὸ τῆς θύρας τοῦ Ἀπόλλωνος ἱεροῦ, τοῖς πυανεψίοις. λέγεται γὰρ Θησέα καθ' ὃν καιρὸν εἰς Κρήτην ἔπλει προσχόντα Δήλῳ, διὰ χειμῶνα εὔξασθαι τῷ Ἀπόλλωνι, καταστέψασθαι κλάδοις ἐλαίας, ὅταν σωθῇ τὸν μινώταυρον ἀποκτείνας, καὶ θυσιάσειν. καὶ τὴν ἱκετηρίαν ταύτην καταστέψας ἑψῆσαι χύτρας ἀθάλης. ὅθεν ἔτνος. καὶ βωμὸν ἱδρύσασθαι. διὸ καὶ πυανέψια δοκεῖ λέγεσθαι. οἷον κυαμέψια. τὸ γὰρ πρότερον οἱ κυάμους πυάμους ἐκάλουν. ἤγετο δὲ ἔσθ' ὅτε ἐπὶ ἀποτροπῶν λοιμῶν. ᾖδον δὲ παῖδες οὕτως. εἰρεσιώνη σῦκα φέρει. καὶ πίονας ἄρτους. καὶ μέλι ἐν κοτύλῃ. καὶ ἔλαιον ἀποψήσασθαι. καὶ κύλικ' εὔζωρον, ὅπως μεθύουσα καθεύδῃς. μετὰ δὲ τὴν ἑορτὴν, ἔξω τῶν ἀγρῶν τιθέασι πρὸς αὐτὰς τὰς θύρας. κράτης δὲ ὁ ἀθηναῖος ἐν τῷ περὶ ἀθήνῃσι θυσιῶν, ἀφορίας ποτὲ κατασχούσης τὴν πόλιν, θαλλὸν καταστέψαι τὰς ἐρίοις,

θρίοις, ἱκετηρίαν ἀναθεῖναι τῷ ἀπόλλωνι.

Ὡς τοῦ Φινέως τὸν βίον.

ἐπὶ τῶν κακῶς ἐκβαλλομένων τὰ ὄντα. ἱστοροῦσι περὶ Φινέως, ὡς διεφόρουν ἅρπυιαι τὸν βίον αὐτοῦ. δοκοῦσι δὲ ἔνιοι, θηρία καὶ πετεινὰ εἶναι ταῦτα, ἁρπάζοντα ἀπὸ τῆς τραπέζης τοῦ Φινέως τὸ δεῖπνον. ἡ δὲ ἀλήθεια, ἔχει οὕτως. Φινεὺς ἦν παιονίας βασιλεύς. ὃν γέροντα γεγονότα, ἡ ὄψις ἀπέλειπεν. οἵ τε ἄῤῥενες παῖδες ἀπέθανον. θυγατέρες δὲ ἦσαν αὐτῷ, πυρία. καὶ ἐρασία. αἳ τινὲς τὸν τοῦ πατρὸς βίον διέφθειρον. ἔλεγον οὖν οἱ πολῖται, δύστηνος ὁ Φινεύς. ὅτι αἱ ἅρπυιαι τὸν βίον αὐτοῦ διαφθείρουσι. οἰκτείραντες δὲ αὐτὸν, ζῆθος καὶ κάλαϊς ἀσυνέτου νοῦ αὐτῶν, Βορέου παῖδες, ἀνδρὸς οὐκ ἀσήμου βοηθήσαντες αὐτῷ, τὰς θυγατέρας ἐξήλασαν ἐκ τῆς πόλεως. καὶ τὰ χρήματα συναθροίσαντες, ἐπίτροπον τινὰ κατέστησαν τῶν θρακῶν.

Ὡς περὶ ἑωλοκρασίαν μου καταχέεις.

τάττεται ἐπὶ ὕβρεως. οἱ γὰρ νέοι ἑωλοκρασίαν κατεσκεύαζον ἀνδρῶν φιλοσόφων, ἡνί-

καὶ συνέπινον ἀλλήλοις παρ' Ἀθηναίοις. ὑπὸ ἑκάστου κρατῆρος οἶνος ἐτίθετο. καὶ εἴ τις ἑκάθελε μὴ πιὼν τὸν ἴδιον κρατῆρα, πρωὶ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐξέχεεν. καὶ ἐκάλει τοῦτο ἑωλοκρασία. κυρίως δὲ τὸ χθιζὸν βρῶμα.

τέλος.

BASILEAE APVD IOAN. HERVAGIVM, ET IOAN. ERASMIVM FROBENIVM.

ANNO. D. M. D. XXXVIII.

1538

ΑΘΗ
ΔΗΜΙΑ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000022422

ΑΘΗ
ΔΗΜΙΑ

ΑΘΗ
ΔΗΜΙΑ